# ΗΦΑΙΣΤΙΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ

## Ἐγχειρίδιον περὶ μέτρων καὶ ποιημάτων.

ΕΙΣ ΤΟ ΑΥΤΟ ΣΧΟΛΙΑ.

Βασιλεῖ τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

TYPIS REGIIS.

PARISIIS, M. D. LIII.

Apud Adrianum Turnebum typographum regium.

EX PRIVILEGIO REGIS.

# ΗΦΑΙΣΤΙΩΝΩΣ ΑΛΕΞΑΝΔΡΕΩΣ

## Ἐγχειρίδιον περὶ μέτρων καὶ ποιημάτων.

ΕΙΣ ΤΟ ΑΥΤΟ ΣΧΟΛΙΑ.

Βασιλεῖ τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

TYPIS REGIIS.

PARISIIS, M. D. LIII.

Apud Adrianum Turnebum typographum regium.

EX PRIVILEGIO REGIS.

# ΕΚ ΤΩΝ ΣΟΥΙΔΑ.

ΗΦΑΙΣΤΙΩΝ Ἀλεξανδρεὺς γραμματικὸς ἔγραψεν ἐγχειρίδια περὶ μέτρων, καὶ μετρικὰ διάφορα, περὶ τῶν ἐν ποιήμασι ταραχῶν, κωμικῶν ἀπορημάτων λύσεις, τραγικῶν λύσεις, καὶ τῶν μέτρων τοὺς ποδισμούς, καὶ ἄλλα πλεῖστα.

## ΤΑ ΠΕΡΙΕΧΟΜΕΝΑ ΕΝ τῷ ἐγχειριδίῳ.


Περὶ βραχείας συλλαβῆς. 1

Περὶ μακρᾶς. 1

Περὶ κοινῆς. 3

Περὶ συνεκφωνήσεως. 8

Περὶ ποδῶν. 10

Περὶ ἀποθέσεως μέτρων. 12

Περὶ τοῦ ἰαμβικοῦ μέτρου. 15

Περὶ τοῦ τροχαϊκοῦ. 18

Περὶ τοῦ δακτυλικοῦ. 21

Περὶ τοῦ αἰολικοῦ καλουμένου. 23

Περὶ τοῦ ἀναπαιστικοῦ. 25

Περὶ τοῦ χοριαμβικοῦ. 29

Περὶ τοῦ ἀντισπαστικοῦ. 32

Περὶ τοῦ ἀπὸ μείζονος ἰωνικοῦ. 36

Περὶ τοῦ ἀπ᾽ ἐλάσσονος ἰωνικοῦ. 39

Περὶ τοῦ παιωνικοῦ. 41

Περὶ τῆς κατ᾽ ἀντιπάθειαν μίξεως. 45

Περὶ ἀσυναρτήτων. 48

Περὶ τοῦ ἐλεγείου μέτρου. 54
Περὶ πολυσχηματίστων. 59
Περὶ ποιήματος. 63
Σαφεστέρα διδασκαλία περὶ μέτρων καὶ ποιήματος. 65
Περὶ σημείων. 74

# ΗΦΑΙΣΤΙΩΝΟΣ ΕΓΧΕΙΡΙΔΙΟΝ ΠΕΡΙ ΜΕΤΡΩΝ.

ΕΙΣ ΤΟ ΑΥΤΟ ΣΧΟΛΙΑ.

## ΠΕΡΙ ΒΡΑΧΕΙΑΣ ΣΥΛΛΑΒΗΣ.

Βραχεῖά ἐστι συλλαβὴ ἡ ἔχουσα βραχὺ φωνῆεν, ἢ βραχυνόμενον, μὴ ἐπὶ τέλους λέξεως, οὕτως ὡς μὴ εἶναι μεταξὺ τούτου τοῦ φωνήεντος, καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ σύμφωνα πλείονα ἑνὸς ἁπλοῦ, ἀλλ᾽ ἤτοι ἕν, ἢ μηδὲ ἕν.

Τὸ βραχυνόμενον εἴρηκεν, ὡς μὴ εἶναι μεταξὺ τῶν φωνηέντων, ἢ σύμφωνα, ἢ διπλοῦν· τὸ δὲ μὴ ἐπὶ τέλει λέξεως εἴρηται, ἵνα ἀντιδιαστείλῃ αὐτὴν πρὸς τὴν λεγομένην κοινήν.

## ΠΕΡΙ ΜΑΚΡΑΣ.

Μακρά ἐστι συλλαβὴ ἡ ἔχουσα μακρὸν φωνῆεν, ἢ μηκυνόμενον, ἢ μίαν τῶν καλουμένων διφθόγγων, οὕτως, ὡς ἑξῆς εἶναι σύμφωνον, ἤτοι τελικὸν αὐτῆς τῆς συλλαβῆς, ἢ τῆς ἑξῆς ἀρκτικόν. οἷον, θὴς, θῶς, παῖς, καὶ ναῦς· εἰ δὲ μὴ, οὐκ εἰσὶν αὐτάρκως μακραὶ, ἀλλὰ κοιναὶ, ὡς ἑξῆς ῥηθήσεται.

Θέσει δὲ μακραὶ γίνονται, ὅταν βραχέος ὄντος, ἢ βραχυνομένου φωνήεντος, σύμφωνα πίπτῃ μεταξὺ αὐτοῦ καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ φωνήεντος, πλείονα ἑνὸς ἁπλοῦ, ἢ ἓν διπλοῦν. γίνεται δὲ τοῦτο κατὰ πέντε τρόπους. ἤτοι γὰρ λήγει εἰς δύο σύμφωνα,

οἷον, » Τίρυνς, οὐδέ τι τεῖχος ἐπήρκεσε. καί,

» Κἀκεῖνος ἐν σπάλεσιν ἥμενος μάκαρς ἀνήρ.

καὶ Τιμοκρέοντος ἐκ τῶν ἐπιγραμμάτων,

» Ὦ ξυμβουλεύειν χέρσ' ἄπο, νοῦς δὲ πάρα. καὶ Ἐμπεδοκλῆς,

» Ἄλς ἐπάγη ῥιπῇσιν ἐωσμένος ἠελίοιο.

Ἢ ἐν τῇ ἑξῆς ἐστι συλλαβῇ· οἷον,

» Ἕκτορ δ' ἐν κλισίῃσιν. ἔνθα καὶ δεῖ παρατηρεῖν, μὴ τὸ μὲν πρότερον ἄφωνον ᾖ, τὸ δὲ δεύτερον ὑγρόν. αἱ γὰρ τοιαῦται κοιναί, ὡς ἑξῆς εἰρήσεται.

Ἢ λήγει μὲν εἰς ἕν, ἔχει δὲ καὶ τὴν ἑξῆς ἀρχομένην ἀπὸ ἑτέρου· οἷον, ἄλλος. Ἢ εἰς διπλοῦν λήγει· οἷον, ἕξ.

Ἢ τὴν ἑξῆς ἔχει ἀπὸ διπλοῦ ἀρχομένην· οἷον, ἔξω.

Μακρὰ μὲν, σημείωσίς ἐστιν ἐκτεινομένου φωνήεντος· βραχεῖα δὲ, σημείωσις συστελλομένου φωνήεντος καὶ τίθεται, ἡ μὲν μακρὰ εἰς δίχρονον ἐκτεταμένον· οἷον,

λιτότατος, ἰσχυρότατος, δυσπεραγότατος.

ἡ δὲ βραχεῖα, εἰς δίχρονον συνεσταλμένον· οἷον, ἀγιώτατος, ὀχυρώτατος, ἀγλαώτατος.

Τὰ δὲ σεσημειωμένα ἐν τοῖς βραχέσι μακρὰ τῶν φωνηέντων, ἃ καὶ χωρὶς δύο συμφώνων καὶ διπλῶν ἐκτείνονται, ταῦτά εἰσι κατὰ στοιχεῖον,

Ἀκρατος, ἀνιαρὸς, ἀνίατος, ἄνισος, ἀπρόσιτος.

Βούλιμος, βόθυνος, βρυχὴ, βριμὼν, βρίθω.

Γλίφω, γλίχων, γρυπὸς, γρῖφος. Δυσπέραγος, δυσπέρατος, ἐπάρατος, εὐθύνω.

Θέα, θυμός. Ἴσος, ἰσχυρὸς, ἴφθιμος.

Κενὸς, κηλὶς, κνιπὸς, κριτὸς, κριθὴ, κίνδυνος, κῦμα, κῦρος.

Λῖπος, λιρὸς, λιμὸς, λῖτος, λύμη. Μιμὸς, μῦθος. Νίκη. Ξεναγὸς, ξένος.



Οἰζυρὸς, ὅμιλος. Πρῖος, πρῖον, πρίασθαι, πρᾶγος, πυγὴ, πυρὰ, πυρός.

Ῥάθυμος, ῥαίων, ῥινὸς, ῥιγῶ, ῥυσσός. Σιμὸς, σιλών, σίλφος.

Τιμὴ, τρανὸς, τῦφος. Ὕλη. Φλυὸς, φθίνω, φιμῶ, φλυαρῶ.

Χαλινὸς, χρυσὸς, χυμὸς, χῖλος. Ψαρὸς, ψιλὸς, ψυχή.

ταῦτα μὲν ἡ τῶν ποιητῶν χρῆσις μακρὰ δέχεται· ὅσα δὲ ἀπ' αὐτῶν, γράφεται διὰ τοῦ ότερος καὶ ότατος.

## ΠΕΡΙ ΚΟΙΝΗΣ.

Κοινὴ γίνεται συλλαβὴ κατὰ τρόπους τρεῖς· ἤτοι ὅταν μακρῷ φωνήεντι, ἢ διχρόνῳ μηκυνομένῳ, ἢ διφθόγγῳ ἐπιφέρηται φωνῆεν· οἷον,

» Ἄνδρα μοι | ἔννεπε | μοῦσα πο | λύτροπον | ὃς μάλα | πολλὰ

» Πλάγχθη· ἐ | πεὶ Τροί | ης ἱε | ρὸν πτολί | εθρον ἔ | περσε.

» Τοῦ κέρα | ἐκ κεφα | λῆς ἑκ | καιδεκά | δωρα πε | φύκει.

Ῥᾶον μὲν οὖν γίνεται ἡ τοιαύτη κοινή, εἴγε ἡ συλλαβὴ εἰς μέρος λόγου εἴη πεπερατωμένη, ὡς ἐν τοῖς προκειμένοις παραδείγμασι· σπανιώτερον δὲ ἐπὶ μέσης λέξεως. οὐ μὴν ἀλλ' ὅμως εὑρίσκεται, καὶ μάλιστα ἐν τοῖς ἄλλοις μέτροις· ἐν μὲν ἰαμβικῷ, Αἰσχύλος ἐν Νιόβῃ·

» Οἶστρος | τοιαύ | της παρ | θένου | λοχεύ | εται.

ἐν δὲ ἰωνικῷ ἀπὸ μείζονος, Σωτάδου ἐξ Ἀδώνιδος τόδε,

» Τίνα τῶν παλαι | ῶν ἰσοει | ῶν θέλετ' ἐσα | κοῦσαι.

ἐν δὲ ἀντισπαστικῷ, Ἀνακρέοντος,

» Ἱκουνιῶ ἐ | πὶ ληθαίου.

ἐν δὲ τοῖς ἔπεσι σπανιώτερον οὕτως, ὡς τὸ τοῦ Ἀρχελάου ὄνομα Σοφοκλῆς ἐν ταῖς ἐλεγείαις οὐκ ᾤετο ἐγχωρεῖν,

» –Οὔτ' εἰς ἔπος, οὔτ' ἐλεγείαν. φησὶ γοῦν ὁ Σοφοκλῆς,

» Ἀρχέλεως· ἦν γὰρ σύμμετρον ὧδε λέγειν. καὶ Παρθένιος δὲ ἐπικήδειον εἰς Ἀρχελαΐδα γράφων ἐλεγειακόν, τὸν τελευταῖον μόνον στίχον ἀντὶ ἐλεγείου ἰαμβικὸν ἐποίησεν, ἐν ᾧ τοὔνομα ἐρεῖν ἔμελλεν.

» Ἀμύ|γδαλον οὔ|νομ' ἔσ|σετ' ἀρ|χελα|ΐδος.

διὸ τοῦτο καὶ παρ' Ὁμήρῳ συστελλομένην τὴν

» Πηνελά|οιο ἄ|νακτος.

Ῥίνθων μὲν γὰρ καὶ ἐν ἰάμβῳ ἐπισημασίας ἠξίωσε τὸ τοιοῦτον. ἐν γὰρ Ὀρέστῃ δράματί φησιν,

» Ὁ δι|όνυσ|σος αὐ|τὸς ἐ|ξώλη|ς εἴη.

εἶθ' Ἱππώνακτος τὸ μέτρον, οὐ μοι μέλει. ὅμως μέντοι καὶ ἐν ἔπεσιν εὑρίσκεται, ὡς παρὰ Θεοκρίτῳ,

» Ὑψη|λᾶς εἰς | πόντον ὁ|ρῶν ἄ|ειδε τοι | αὐτά.

καὶ παρ' Ὁμήρῳ,

» Οἶδ' ἄρε|τὴν οἷός | ἐσσι, τί | σε χρὴ | ταῦτα λέ|γεσθαι.

καὶ παρ' Ἀνακρέοντι ἐν ἐλεγείαις,

» Οὐδέ τι | τοι πρὸς | θυμόν, ὅ|μως γε μὲν | ὡς ἀδι|άστως.

ἐπεὶ μὲν γὰρ τῶν τοιούτων,

» Σοὶ ναί|ουσ' ὑπο|φῆται ἀ|νιπτόπο|δες χαμαι|εῦναι. καὶ πάλιν,

» Ἐδμέναι | οἷα σύ|ες χαμαι|ευνάδες | αἰὲν ἔ|δουσιν.

ἴσως διὰ τὸ φαντασίαν τινὰ παρέχειν τοῦ ἀπηρτίσθαι τὴν λέξιν ἐν τῷ χαμαί, ὡς μία ἡ χαμαί, ἀκούεται. τῇ μέντοι γε διφ-



ἐὰν παρακολουθήσῃ τὸ τοιοῦτον, τελείως βραχὺς ὁ στίχος γίνεται· οἷον

» Ἕκτορ υἱ|ὲ Πριά|μοιο δαΐ|φρονος | οἷον ἔ|ειπας.

Κοινή) Κοινὴν τὴν συλλαβὴν ἀμφίδοξον καλοῦσι, διὰ τὸ ἀμφίβολον εἶναι τὴν περὶ αὐτῆς δόξαν. τῇ μὲν γὰρ ἀντὶ μακρᾶς, τῇ δὲ ἀντὶ βραχείας παραλαμβάνεται. διὸ ὅρον αὐτῆς οὐκ ἐκθετέον· οὐ γάρ ἐστιν, ἀλλὰ γίνεται. ὅταν γὰρ ἡ χρεία καλέσῃ, ἢ μακρά, ἢ βραχεῖά ἐστιν. ἐν μέσῳ δὲ ἀμφοῖν κειμένη, κοινὴ προσαγορεύεται. Ῥᾷον μὲν) Ἡ γὰρ ἀνάπαυσις τοῦ λόγου τὰς συλλαβὰς ἀπ' ἀλλήλων χωρίζουσα, τρόπον τινὰ αὐτὰς μακρὰς καθίστησι. φησὶ δὲ ὁ μετρικός, ὅτι ἡ κοινὴ συλλαβή, ὅταν καταλήξῃ εἰς μέρος λόγου, καλλίστη ἐστίν. εὑρίσκεται δὲ μὴ εἰς μέρος λόγου πεπερασμένη. Ὁ στίχος τοιαῦ) Κοινή ἐστιν ἐν μέσῳ τὸ τοι. ὁ γὰρ ἴαμβος ἐν ταῖς ἀρτίαις χώραις ἀπὸ βραχείας ἄρχεται. τὸ δέ, Τίνα τῶν παλαιῶν, Σωτάδου ἐστίν, ὃν ἀνεῖλε Φιλάδελφος ὁ Πτολεμαῖος ἐλεγχθεὶς ὑπ' αὐτοῦ, ὅτι τῇ ἀδελφῇ συγγίνοιτο. Ἐν δὲ) ἰωνικὸν ἀπὸ μείζονος σύγκειται ἀπὸ δύο μακρῶν καὶ δύο βραχειῶν. ὁ γοῦν Σωτάδης ἀντὶ τῆς ἐν ἀρχῇ μακρᾶς, δύο βραχείας, τὴν τίνα, παρέλαβε, καὶ ἐν τῷ τρίτῳ ποδὶ δύο συλλαβὰς βραχείας ἀντὶ μακρᾶς.

Ἀμύγδαλον) Ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τὸ γὰρ Ἀρχελαΐδος, καὶ τὸ πηνελάοιο, τὸ λα ἐκτεταμένον ἐστὶ· γίνεται οὖν κοινή. Ὁ διόνυσ.) Ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. ὁ δὲ Ὑψηλᾶς, καὶ Οἶδ' ἀρετήν, καὶ Σοὶ ναίουσ', δακτυλικοὶ ἤτοι ἡρωϊκοὶ ἑξάμετροι.

Δεύτερός ἐστι τρόπος, ὅταν βραχεῖ, ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται ἐν τῇ ἑξῆς συλλαβῇ σύμφωνα δύο, ὧν τὸ μὲν πρότερον ἄφωνόν ἐστι, τὸ δὲ δεύτερον ὑγρόν· οἷον, ὅπλον, ἄκρον,

» Πάτροκλέ μοι δειλῇ κεχαρισμένε. ὅταν δὲ προηγούμενον ἡμίφωνον ᾖ, οὐκέτι κοινή ἐστιν ἡ προκειμένη, ἀλλὰ τελέως μακρά. προτάσσεται δὲ ἡμίφωνον ὑγροῦ, τὸ μὲν μ, τοῦ ν· οἷον, ἀμνός. τὸ δὲ σ, τοῦ μ· οἷον, ἐσμός· καὶ τὸ σ, τοῦ λ, κατὰ πάθος· ὡς ἐν τῷ Ἀμάσλης· καὶ σπανίως τοῦ ν, ὡς ἐν τῷ Πάσνης καὶ Ἄσνης. ἃ δὴ ὀνόματα παρὰ Ξάνθῳ ἐστὶν ἐν τοῖς Λυδιακοῖς. ἤδη μέντοι ἡ διὰ τοῦ μν σύνταξις ἐποίησέ που καὶ βραχεῖαν, ὡς παρὰ Κρατίνῳ ἐν Πανόπταις,

» Ἄλλοτε | ογνώ|μοις ἐπι|λήσμοσι | μνημονι|κοῖσι

καὶ παρ' Ἐπιχάρμῳ ἐν Μεγαρίδι,

» Εὔυ|μνος· καὶ | μοῦσι|κὰν ἔ|χοισα | πᾶσαν | φιλόλυ|ρος Ἠχή.

καὶ παρὰ Καλλιμάχῳ,

» Τῶς μὲν ὁ | μυησὰρ | χέος ἕ | φη ξένος.

κἂν μέντοι ἐν τῇ προτέρᾳ συλλαβῇ τελικὸν ᾖ τὸ ἄφωνον, τῆς δὲ δευτέρας ἀρχικὸν τὸ ὑγρὸν, οὐκέτι γίνεται κοινὴ συλλαβὴ, ἀλλ' ἄντικρυς μακρὰ, ὡς παρὰ Ἀλκαίῳ,

ἡρωϊκὸς ἑξάμετρος.

» Ἐκ μ' ἐλά | σαις ἀλ | γέων. Ἐκ ῥ' ἀσά | μίνθου, | βάντες.

φησὶ δὲ ὁ Ἡλιόδωρος, τὸ μ ἐπιφερόμενον ἀφώνῳ ἧττον τῶν ἄλλων ὑγρῶν κοινὰς ποιεῖν ἐν τοῖς ἔπεσι συλλαβάς. ἀλλὰ τοῦτο καὶ Κρατῖνος ἐν τοῖς Χείρωσι πεποίηκε·

ἡρωϊκὸς ἑξάμετρος.

» Σκῆψιν | μὲν κα | ρῶνες ἐ | λήλυθμεν | ὡς ὑπο | θήκας.

ἀντὶ τοῦ ἐληλύθαμεν, ὅπερ ἐξηλέγξαμεν, ψεῦδος ὄν. πρὸς γὰρ τὸ μυείαν εἶναι τὴν χρῆσιν παρὰ τοῖς ἄλλοις, ἐδείξαμεν ἔτι καὶ παρ' αὐτῷ τῷ Κρατίνῳ πολλάκις οὖσαν· ὡς ἐν Κλεοβουλίναις,

ἡρωϊκὸς ἑξάμετρος.

» Ἔστιν ἄ | κμων καὶ | σφῦρα νε | ανία | εὔτριχι | πώλῳ.

καὶ πάλιν ἐν Πανόπταις,

ἡρωϊκὸς ἑξάμετρος.

» Κρανία | δισσὰ φο | ροῦν ὀ | φθαλμοὶ | δ' οὐκ | ἀριθ | μητοί.

καὶ πάλιν ἐν Ὥραις,

ἡρωϊκὸς ἑξάμετρος.

» Οὐδὲ πρὸς | εἶδος ἀρ | ῆν οὐ | δὲν προσ | ιδόντι τε | κμήρτον.



ἄλλως τε καὶ τὸ ἐλήλυμεν ἐδείξαμεν καὶ ἐν ἄλλοις μέτροις συνήθως αὐτοῖς λεγόμενον, ὡς παρὰ Ἀχαιῷ ἐν Κύκνῳ,

ἰαμβικὸς τρίμετρος ἀκατάληκτος.

» Κύκνου | δὲ πρὸ | πατρὸς | δόμους | ἐλή | λυμεν.

παρ' ᾧ καὶ τὸ δεύτερόν ἐστιν ἀκολούθως πρόσωπον,

ἰαμβικὸς τρίμετρος ἀκατάληκτος

» Τοιοῦ | δὲ φω | τὸς πρὸς | δόμους | ἐλή | λυτε.

Δεύτερός ἐστι) Δεύτερον τρόπον φησὶ τῆς κοινῆς συλλαβῆς, ὅταν τὸ μὲν πρῶτον ἄφωνόν ἐστι, τὸ δὲ δεύτερον ὑγρόν· καὶ ὅταν κατὰ σύλληψιν ὑπάρχωσιν. εἰκότως. τὸ γὰρ ἄφωνον πάντως ἐστὶν ἀσθενὲς, ὡς κακόφωνον· τὸ δὲ δεύτερον, εὐόλισθον καὶ τρέχον. ἀλλὰ μὴν τὴν ἀσθένειαν τοῦ ἀφώνου, καὶ τὸ εὐκίνητον τοῦ ὑγροῦ οὐκ αἰσθάνεται ἡ ἀκοὴ τὴν μακράν, καὶ γίνεται κοινὴ συλλαβή. ποιοῦσι δὲ κοινὴν συλλαβὴν δύο σύμφωνα, ἐπεὶ ἑκάστη συλλαβὴ ἔχει τινὰ σιωπήν· ὡς οὖν ἀσθενέστερα πλείω χρόνον ἐποίουν ἐν τῇ κινήσει, καὶ ἠλέγχετο ἡ κοινὴ συλλαβή. Ἡμίφωνον) οἷον, ζ, ξ, ψ, λ, μ, ν, ρ, σ. Εὔυμνος) Τροχαϊκὸν γὰρ μέτρον· καὶ ἔδει τὸν πρῶτον ἁπλοῦν πόδα εἶναι τροχαῖον. ἐν γὰρ ταῖς περιτταῖς τὸ τροχαϊκὸν οὐ δέχεται σπονδεῖον· ἀλλὰ ἐν ταῖς ἀρτίαις· τὴν οὖν εὔυμνος τὸ υ μακρόν· ἐπιφερομένου μέντοι τοῦ μν, γέγονε κοινή. Τὸ ἄφωνον) Ὥστε εἶναι αὐτὸ κατὰ διάστασιν δηλονότι. οὕτω γὰρ ὁ ἐξηγητής φησι.

Ἐκ μ' ἐλάσαις) Μακρὸν γὰρ ἔμεινεν ἡ ε· καίτοι ἑξῆς ὄντος ἀφώνου καὶ ὑγροῦ· ἀλλὰ κατὰ διάστασιν. Φησὶ δὲ ὁ Ἡλιόδωρος) Ἐπιλαμβάνεται Ἡλιοδώρου μὴ οἰομένου ποιεῖν κοινὴν, ὅταν μετὰ τὸ ἄφωνον, τὸ μ ἐστὶν οἷον ὄγμος, καὶ ἐπιφέρει τὰ παραδείγματα. Σκῆψιν μὲν) Συνηγορῶν Ἡλιοδώρῳ δῆθεν ταῦτά φησιν. ἠδύνατο γὰρ ἐλήλυθμεν εἶναι, εἰ μηδὲν ἐκώλυε. κατὰ σύλληψιν γὰρ ἐπέφερε τὸ ἄφωνον καὶ ὑγρόν· ψεῦδες δὲ τοῦτο. ἀττικὸν γάρ ἐστι τὸ ἐλήλυμεν. οὐ γὰρ διὰ τὸ μέτρον ἀφῃρέθη τὸ θ, ἀλλὰ συνήθες αὐτῷ οὕτω λέγειν. Ἔστιν ἄκμων) Ἐν ταύτῃ γὰρ ὀφειλούσῃ βραχείᾳ εἶναι ἐπιφέρεται τὸ μ. ἰδοὺ οὖν ἀφώνου ὄντος καὶ πρὸ τοῦ μ, γίνεται κοινή. οὐκοῦν οὐδὲν ἔβλαπτε καὶ εἰς τὸ ἐλήλυθμεν ἡ ἐπιφορὰ τοῦ ἀφώνου, καὶ τοῦ μ.

Τρίτος δὲ τρόπος κοινῆς συλλαβῆς, ὅταν βραχεῖα συλλαβὴ τελικὴ λέξεως ᾖ, μὴ ἐπιφερομένων τῶν τῆς θέσεως μακρὰς ποιητικῶν συμφώνων· ἀλλὰ ἤτοι ἑνὸς ἢ μηδενός· ὡς ἐν τῷ,

ἡρωϊκοὶ ἑξάμετροι.

» Οἱ δὲ μέ | γα ἰά | χοντες ἐ | πέδραμον | υἷες Ἀ | χαιῶν.

» Αὐτὰρ ἐ | πεὶ δὴ νᾶ | ων γένε | το ἰα | χή τε θε | ός τε.

» Νέστορα | δ' οὐκ ἔλα | θεν ἰα | χὴ πί | νοντά περ | ἔμπης.

» Ἀλλὰ τά | γ' ἄσπαρ | τα καὶ ἀ | νήροτα | πάντα φύ | ονται.

» Καὶ μὴν | οἱ λύκι | οι τέμε | νος τάμον | ἔξοχα | πάντων.

ἐνταῦθα καὶ εἰς μέρος λόγου ἡ κοινὴ ἔληξε, καὶ εἰς τὴν τοῦ ποδὸς τελευτὴν ἔληξεν· αἱ γὰρ ἄλλαι κοιναί, ἃς εἶπον, ἀρχικαὶ ποδὸς ἦσαν· αὕτη δέ, καὶ τοῦ ποδὸς, καὶ τῆς λέξεως ληκτική.

## ΠΕΡΙ ΣΥΝΕΚΦΩΝΗΣΕΩΣ.

Συνεκφώνησίς ἐστιν, ὁπόταν δύο συλλαβαὶ σύμφωνον μὴ ἔχουσαι μεταξὺ ἀλλήλων, ἀντὶ μιᾶς παραληφθῶσι. Τρόποι δὲ εἰσὶ τῆς συνεκφωνήσεως οἵδε,

ἢ γὰρ δύο μακραὶ εἰς μίαν μακρὰν παραλαμβάνονται, ὡς τό,

» Ἢ οὐχ ἅλις | ὅττι γυ | ναῖκας ἀ | ναλκίδας | ἠπερο | πεύεις.

καὶ πάλιν,

» Βουκόλ' ἐ | πεὶ οὔτε κα | κῷ οὔ | τ' ἄφρονι | φωτὶ ἔ | οικας·

ἢ βραχεῖα καὶ μακρά, εἰς μίαν μακράν.

» Ἐπειδὴ | δ' εἰς νῆ | ας τε καὶ | Ἑλλή | σποντον ἵ | κοντο. καὶ πάλιν,

» Πλέων ἐπὶ | οἴνοπα | πόντον.

ἢ δύο βραχεῖαι, εἰς μίαν μακράν.

» Νέα μὲν | μοι κατέ | αξε Πο | σειδά | ων ἐνὶ | πόντῳ.

ἢ δύο βραχεῖαι, εἰς μίαν βραχεῖαν· ὅπερ ἐν τοῖς ἄλλοις οὐχ εὑρίσκεται μέτροις, ὡς παρὰ Σωτάδῃ ἐν τῇ Ἰλιάδι,

» Σείων μελί | ην Πηλιάδα | δεξιὸν κα | τ' ὦμον.

ἐν δὲ τοῖς ἔπεσι ἀηδῶς· ὥσπερ Κριτίας ἐν τῇ εἰς Ἀλκιβιάδην ἐλεγείᾳ



ἐλεγείᾳ οὐκ ᾤετ' ἐγχωρεῖν τοῦ Ἀλκιβιάδου τὸ ὄνομα. φησὶ γάρ,

» Καὶ νῦν | Κλεινίου | υἱὸν Ἀ | θηναῖ | ον στεφα | νώσω.

» Ἀλκιβι | άδην | νέοισιν ὑ | μνήσας | τρόποις.

» Οὐ γάρ πως ἦν τοὔνομ' ἐφαρμόζειν ἐλεγείῳ,

» Νῦν δ' ἐν ἰαμβείῳ κείσεται οὐκ ἀμέτρως.

ἔστι μέντοι καὶ ἐν ἔπει, ὡς παρὰ Κορίννῃ ἐν τῷ πέμπτῳ,

ἡρωϊκὸς ἑξάμετρος.

» Ἦ διανε | κῶς εὕδεις, οὐ | μὰν πρὸς | ἦσθα Κο | ρίννα.

καὶ παρὰ Πραξίλλῃ ἐν διθυράμβοις ἐν ᾠδῇ ἐπιγραφομένῃ Ἀχιλλεύς,

» Ἀλλὰ τεὸν | οὔ ποτε | θυμὸν ἐ | νὶ στή | θεσσιν ἔ | πειθον.

τὰ μὲν γὰρ τοιαῦτα,

» Ὦ κ' ἑκα | τόγχει | ρον καλέ | σας εἰς | μακρὸν Ὄ | λυμπον, καὶ,

» Θῖν' ἔφ' ἁ | λὸς πολι | ῆς ὁρό | ων ἐπὶ | οἴνοπα | πόντον.

οὐ μᾶλλον συνεκφώνησιν ἔχει ἢ συναλοιφήν. ἔστι δ' ὅπου καὶ βραχεῖα καὶ κοινὴ ἀντὶ βραχείας παραλαμβάνεται, ὡς ἐν τῷ,

» Δενδρέῳ ἐ | φεζόμε | νοι ὄπα | λειριό | εσσαν ἱ | εῖσι. καὶ

» Χρυσέῳ ἀ | νὰ σκή | πτρῳ, καὶ ἐ | λίσσετο | πάντας ἀ | χαιούς.

Συνεκφώνησις) Ἡ συνεκφώνησις ἀναγκαῖον ἐστι μάθημα, καὶ πάνυ μετρικοῖς ἁρμοδιώτατον. πολλοὶ γὰρ λελυμάνθαι δοκοῦντες στίχοι, καὶ ἄμετρον ἔχοντες τὴν σύνθεσιν, διὰ τῆς συνεκφωνήσεως τὸν τῆς μετροποιΐας κόσμον ἀπολαμβάνουσι, τὸ γὰρ

Ὑμῖν μὲν θεοὶ δοῖεν ὀλύμπια δώματ' ἔχοντες.

εἰ κοινόν τις λάβοι, μέγιστον ποιήσει ἐναντίωμα τοῖς προειρημένοις. φασὶ μὲν γὰρ κόσμον εἶναι κοινῆς, εἰ εἰς φωνῆεν λήγει, καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην. ἐνταῦθα δὲ κατὰ τὸν δεύτερον πόδα τῇ οι συλλαβῇ τὸ δοι ἐπιφερόμενον, σκάζειν ποιεῖ τὸν στίχον, εἰ μὴ τῷ τῆς συνεκφωνήσεως θεραπευθείη λόγῳ. συνεκφωνεῖται γὰρ τὸ ε, καὶ γίνεται σπονδεῖος, μὲν θεοί. αὕτη ἡ συνεκφώνησις λέγεται καὶ συνίζησις. πάντως δὲ τετύχηκε τῶν ὀνομάτων, ὅτι ἡ φωνὴ

ὑποθλίβουσα καὶ ὑποκλέπτουσά τι τῶν φωνηέντων, τὰς κακομετρίας ἀφαιρεῖ τῶν στίχων· ὅταν γὰρ φωνηέντων γίνηται ἀλληπάλληλος φορὰ, συνεκφώνησις γινομένη, καὶ ὑφιζάνειν ἀλλήλοις ποιοῦσα τὰ φωνήεντα, τὰς δύο συλλαβὰς εἰς μίαν συναιρεῖ· οἷον ἐπὶ τοῦ προκειμένου παραδείγματος τὸ θεοὶ, δισύλλαβον ὑποκλέψασα διὰ τὴν χρείαν ἡ συνεκφώνησις, τὸ μὲν ε συνεξέθλιψε· τὸ δὲ οι προσενεγκοῦσα, μονοσύλλαβον ἀντὶ δισυλλάβου πεποίηκε τοὔνομα, καὶ γέγονε θοι τρόπον τινα. διαφέρει δὲ συνεκφώνησις συναλοιφῆς. κλοπὴ γάρ ἐστι χρόνων αὕτη, γραμμάτων οὔσης τῆς συναλοιφῆς· ὅτι ἡ μὲν συναλοιφὴ ὡς γράφεται καὶ βαίνεται, οἷον, ὡς ἔφαθ᾽, οἱ δ᾽ ἄρα· οὐ γὰρ ὁλοκλήρως βαίνομεν, οἷος ὡς ἔφατο, ἀλλ᾽ ὡς γράφεται ἔφαθ᾽. ἡ δὲ συνεκφώνησις ὁλοκλήρως μὲν γράφεται, βαίνεται δὲ ἐλλιπῶς οἷον,

Χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ ἐλίσσετο πάντας ἀχαιούς.

κοινὸν δὲ ἑκατέρας τὸ παρατηρεῖν, μὴ σύμφωνον ἢ μεταξύ. Ηφαιστίων δὲ προλαμβάνει καὶ τὸν λόγον τὸν περὶ συνεκφωνήσεως, ὡς συμβαλλόμενον αὐτῷ εἰς τὸν περὶ τῶν ποδῶν λόγον. Εν τῇ Ιλιάδι) Ιλιάδα ἔγραψε Σωτάδης μεταθεὶς τὰ τοῦ ποιητοῦ εἰς ἴδιον μέτρον. ἔστιν οὖν τὸ παράδειγμα ἰωνικὸν ἀπὸ μείζονος. καὶ γὰρ ἡ δευτέρα συζυγία, καὶ πηλιάδα, τῶν δύο βραχειῶν ἀντὶ μιᾶς λαμβανομένων. Η διανεκῶς) Ο πρῶτος πούς, ἐστὶ τετρασύλλαβος, τῆς διὰ ἀντὶ μιᾶς βραχείας παραλαμβανομένης. παραλέλοιπε δὲ ἡ διαίρεσις δύο μακρὰς ἀντὶ βραχείας, ὅπερ οὐχ εὑρίσκεται. βραχεῖαν δὲ κοινὴν ἀντὶ μακρᾶς εὑρίσκομεν ἐν τῷ πρώτῳ στίχῳ τοῦ ποιητοῦ.

Μῆνιν ἄειδε θεὰ πηληϊάδεω ἀχιλῆος.

## ΠΕΡΙ ΠΟΔΩΝ.

ΕΚ τῶν συλλαβῶν εἰσὶν οἱ πόδες· ὧν δισύλλαβοι μὲν δ΄· δίχρονος μὲν εἷς, ἐκ δύο βραχειῶν, ὁ πυρρίχιος υυ. τρίχρονοι δὲ δύο, ἐκ μακρᾶς καὶ βραχείας, ὁ τροχαῖος -υ. ἐκ βραχείας καὶ μακρᾶς, ὁ ἴαμβος υ-. τετράχρονος δὲ εἷς, ἐκ δύο μακρῶν, ὁ σπονδεῖος --. Τρισύλλαβοι δὲ οἱ τούτων διπλασίονες, η΄. τρίχρονος εἷς, ἐκ τριῶν βραχειῶν, τρίβραχυς, ὁ καὶ χορεῖος υυυ. τετράχρονοι δὲ τρεῖς, ἐκ μακρᾶς καὶ δύο βραχειῶν, ὁ δάκτυλος -υυ· ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, ἀμφίβραχυς υ-υ. ἐκ δύο βραχειῶν καὶ μακρᾶς, ἀνάπαιστος υυ-. πεντάχρονοι δὲ οἱ ἴσοι τούτοις τρεῖς. ἐκ βραχείας καὶ δύο μακρῶν, βακχεῖος υ--. ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ἀμφίμακρος, -υ-, ἢ κρητικός. ἐκ δύο μακρῶν καὶ βραχείας, παλιμβάκχειος --υ. ἑξάχρονος δὲ εἷς, ἐκ τριῶν μακρῶν, μολοττός ---.



Τετρασύλλαβοι δὲ, οἱ τούτων διπλασίονες ἑκκαίδεκα· ὧν τετράχρονος εἷς, ἐκ τεσσάρων βραχειῶν, ὁ προκελευσματικὸς υυυυ. πεντάχρονοι δὲ τέσσαρες, ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν, παίων πρῶτος -υυυ. ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν, παίων δεύτερος υ-υυ. ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας, παίων τρίτος, υυ-υ. ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς, παίων τέταρτος υυυ-. ἑξάχρονοι δὲ ἕξ, ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν, ἰωνικὸς ἀπ᾽ ἐλάττονος υυ--. ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας, ἀντίσπαστος υ--υ. ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν, ἰωνικὸς ἀπὸ μείζονος --υυ. ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας τροχαϊκὴ ταυτοποδία, ἢ διτρόχαιος -υ-υ. ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ἰαμβικὴ ταυτοποδία, ἢ διίαμβος υ-υ-. ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς, χορίαμβος -υυ-. ἑπτάχρονοι δὲ τέσσαρες ἐκ βραχείας καὶ τριῶν μακρῶν, ἐπίτριτος πρῶτος υ---, ἐκ μακρᾶς καὶ βραχείας, καὶ δύο μακρῶν, ἐπίτριτος δεύτερος, ἢ καὶ τροχαϊκὴ ἑπτάσημος, ὁ καὶ καρικός -υ--. ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς, ἐπίτριτος τρίτος, ἢ ἰαμβικὴ ἑπτάσημος, ὁ καὶ ῥόδιος --υ-. ἐκ τριῶν μακρῶν καὶ βραχείας ἐπίτριτος τέταρτος, ἢ ἀντισπαστικὴ ἑπτάσημος, ὁ καὶ μονογενὴς ---υ. ὀκτάχρονος δὲ, ἐκ τεσσάρων μακρῶν, σπονδειακὴ ταυτοποδία, ἢ δισπόνδειος ----.

Οἱ πόδες) Πούς ἐστι ποιῶν ἢ ποσῶν σύνθεσις συλλαβῶν πρὸς εὐπρέπειαν. εἰλήφασι δὲ τὴν ὀνομασίαν οἱ πόδες ἀπὸ ῥυθμοῦ ἢ συνθέσεων ἢ πόλεων χρησαμένων. τὰ δὲ μέτρα ἀπὸ ποδῶν τινῶν εἰσὶ, τῶν ἐχόντων ἢ ἴσον λόγον, ἢ διπλασίονα, ἢ ἡμιόλιον. καὶ τοῦ μὲν ἴσου εἴη ἂν δάκτυλος -υυ. μία γὰρ μακρὰ καὶ δύο βραχεῖαι τὸν αὐτὸν ἔχουσι λόγον. τοῦ δὲ διπλασίονος τροχαῖος -υ. μακρὰ γὰρ τῆς βραχείας διπλασίων. τοῦ δὲ ἡμιολίου βακχεῖος υ--. βραχεῖα γὰρ καὶ μακρὰ πρὸς τὴν μακρὰν λόγον ἔχει τὸν ἡμιόλιον· τρεῖς δὲ παραυξήσεις ἔχουσιν οἱ δισύλλαβοι ἀπὸ διχρονίας μέχρι τετραχρονίας. Πυρρίχιος) Πυρρίχιος καὶ παρίαμβος καλεῖται, διὰ τὸ ἐν τέλει ἰάμβου ἀεὶ εὑρίσκεσθαι. Δάκτυλος) Εν ἴσῳ λόγῳ τὸ δακτυλικὸν καὶ ἀναπαιστικὸν μέτρον καλεῖται ἐπιπλοκὴ τετράσημος· ἀπὸ ῥυθμοῦ δὲ ὁ δάκτυλος.

Προκελευσματικός) Τὰ προκελευσματικὰ μέτρα εἰ εὑρεθείη, δηλονότι καὶ ἀναπαιστικά ἐστι. Παίων) Ὁ πρῶτος παίων καὶ ὁ τέταρτος ποιοῦσι τὸ παιωνικὸν μέτρον· οὐκ ἔτι δὲ ὁ δεύτερος καὶ ὁ τρίτος· ἐμπίπτει δὲ εἰς ἰωνικά. τὸ δὲ παιωνικὸν ἐπιπλοκὴν οὐκ ἔχει, ὡς τὰ προειρημένα. οἱ εἰς Ἀπόλλωνα δὲ γράφοντες, τῷ ποδὶ τούτῳ τῷ παίωνι χρῶνται. Ἰστέον δὲ ὅτι ἐὰν ἡ τελευταία συλλαβὴ τοῦ ἰωνικοῦ τοῦ ἀπ' ἐλάσσονος βραχεῖα γένηται, εὑρίσκεται παίων τρίτος· ἐὰν δὲ ὁ ἀπὸ μείζονος τὴν πρώτην βραχεῖαν ἔχῃ, ὁ δεύτερος παίων εὑρίσκεται. Ἑξάχρονοι) Ἀπὸ τῶν ἓξ ποδῶν τῶν ἑξαχρόνων τέσσαρα μέτρα γίνεται, τά τε ἰωνικά, τό τε χοριαμβικόν, καὶ τὸ ἀντισπαστικόν, ἅπερ καλεῖται ἐπιπλοκὴ τετραδικὴ ἑξάσημος. ἐὰν γὰρ μέτρον τὸ ἰωνικὸν ἀπὸ μείζονος, τῆς κατ' ἀρχὴν συλλαβῆς λαμβανομένης, γίνεται τὸ λοιπὸν χοριαμβικόν· καὶ τῆς δευτέρας λαμβανομένης, γίνεται τὸ ἀπ' ἐλάσσονος ἰωνικόν· καὶ τῆς τρίτης λαμβανομένης, τὸ ἀντισπαστικὸν γίνεται. καὶ οὗτοι μὲν οὕτως. ὁ δὲ ἴαμβος γινόμενος μετὰ τῶν χοριαμβικῶν τε ἀντισπαστικῶν, τὸ ἐπίμικτον ποιεῖ· ὁ δὲ τροχαῖος μετὰ τῶν ἰωνικῶν ποιεῖ τὸ ἐπίμικτον μέτρον. Ἐπίτριτος) Ἐπίτριτος ἀριθμὸς λέγεται, ὁ ἀριθμόν τινα ἔχων ἐν ἑαυτῷ, καὶ τὸ τρίτον τούτου· οἷον ὁ τέσσαρα πρὸς τὸν τρία· ὅθεν καὶ ἐπίτριτοι πόδες.

## ΠΕΡΙ ΑΠΟΘΕΣΕΩΣ ΜΕΤΡΩΝ.

Ἀκατάληκτα καλεῖται μέτρα, ὅσα τὸν τελευταῖον πόδα ὁλόκληρον ἔχει· οἷον ὡς ἐπὶ δακτυλικοῦ.

Δακτυλικὸς, εἴτ' οὖν ἡρωϊκὸς τετράμετρος ἀκατάληκτος.

» Μῶσ' ἄγε | Καλλιό|πα θύγα|τερ Διός.

Καταληκτικὰ δὲ, ὅσα μεμειωμένον ἔχει τὸν τελευταῖον πόδα· οἷον ἐπὶ ἰαμβικοῦ.

Ἰαμβικὸς τρίμετρος καταληκτικός.

» Χαίρει|σα νύμ|φα, χαι|ρέτω | δ' ὁ γαμ|βρός.

ἐνταῦθα γὰρ ἡ βρὸς τελευταία συλλαβὴ ἀντὶ ὅλου ποδὸς ἰαμβικοῦ κεῖται.

Ἐὰν δὲ τρισύλλαβος ᾖ ὁ ποὺς, ὁ τὸ μέτρον συνιστὰς, δύναται καὶ παρὰ δύο συλλαβὰς εἶναι τὸ καταληκτικόν· οἷον ἐπὶ δακτυλικοῦ.

Δακτυλικὸς τρίμετρος καταληκτικός.

» Ἐνδεκα | τυσία | δης.

ἐνταῦθα γὰρ ἡ δης συλλαβὴ ἀντὶ τρισυλλάβου κεῖται δακτύλου· ἐπὶ δὲ τῶν τοιούτων τὸ μὲν παρὰ συλλαβὴν καλεῖται καταληκτι-



κὸν εἰς δισύλλαβον· τὸ δὲ παρὰ δύο συλλαβὰς καλεῖται καταληκτικὸν εἰς συλλαβήν.

Βραχυκατάληκτα δὲ καλεῖται ὅσα ἀπὸ διποδίας ἐπὶ τέλους ὅλῳ ποδὶ μεμείωται· οἷον ἐπὶ ἰαμβικοῦ.

Ἰαμβικὸς τρίμετρος βραχυκατάληκτος.

» Ἀγ' αὖ | τ' ἐς οἶ|κον τὸν | Κλεη|σίππω.

ἐνταῦθα γὰρ σίππω ἀντὶ ὅλης ἰαμβικῆς κεῖται διποδίας.

Ὑπερκατάληκτα δὲ, ὅσα πρὸς τῷ τελείῳ προσέλαβε μέρος ποδός· οἷον ἐπὶ ἰαμβικοῦ.

Ἰαμβικὸς δίμετρος ὑπερκατάληκτος.

» Εἶμ' ὡς τ' ἀπὸ πυσ|σάλω | λυθεῖ | σα.

τοῦτο μὲν οὖν συλλαβῇ πλείονι περιττεύει. δύναται μὲν οὖν καὶ δισυλλάβῳ περιττεύειν, ὁπότ' ἂν ἑκάτερος τῶν ἐν τῇ συζυγίᾳ ποδῶν τρισύλλαβος ᾖ· οἷον ἐπ' ἀναπαιστικοῦ.

Ἀναπαιστικὸς μονόμετρος ὑπερκατάληκτος.

» Ἀλλ' Ἀρ|τεμις ὦ | κόραι. τοῦτο γὰρ πρὸς τῇ ὁλοκλήρῳ συζυγίᾳ, δισύλλαβον ἔχει τὸν τελευταῖον, ὅπερ ἀναπαίστου μιᾷ ἐνδεῖ συλλαβῇ. καλοῦνται δὲ ταῦτα πάντα ἀποθέσεις.

Ἰστέον οὖν, ὅτι ἐὰν τὰ δακτυλικὰ ἢ ἀναπαιστικὰ βαίνηται κατὰ συζυγίαν, ἔχουσιν ἀποθέσεις ς.

κατάληκτον, ἤγουν μὴ ἔχον τὸ τυχὸν ἔλλειμμα, ὡς τὸ,

Μῶσ' ἄγε Καλλιόπα θύγατερ Διός.

Καταληκτικὸν εἰς δισύλλαβον, ἤγουν ἐνδέον τοῦ τελείου μιᾷ συλλαβῇ, ὡς ἐπὶ τοῦ αὐτοῦ παραδείγματος.

Μῶσ' ἄγε Καλλιόπα θύγατερ Δι.

Καταληκτικὸν εἰς συλλαβὴν, ἤγουν ἐνδέον δύο συλλαβαῖς.

Μῶσ' ἄγε Καλλιόπα θύγατερ.

Ὑπερκατάληκτον εἰς συλλαβὴν, ἤγουν ὃ πρὸς τῷ τελείῳ τὸ μέρος ἔλαβε πρὸς μονοσύλλαβον.

Μῶσ' ἄγε Καλλιόπα θύγα.

Βραχυκατάληκτον δὲ, ὡς τὸ

Μῶσ' ἄγε Καλλιόπα θύγα.

Ταῦτα μὲν οὕτως ἐν τῷ δακτυλικῷ καὶ ἀναπαιστικῷ μέτρῳ εὑρίσκεται. ἐν δὲ τοῖς ἄλλοις μέτροις αὐτάρκεις αἱ τέσσαρες, πλὴν τῆς καταληκτικῆς εἰς δισύλλαβον, καὶ ὑπερκαταληκτικῆς εἰς δισύλλαβον. δισυλλάβων γὰρ ὄντων τῶν ποδῶν, τὸ μὲν καταληκτικὸν εἰς δισύλλαβον, ἀκατάληκτόν ἐστι· τὸ δὲ ὑπερκατάληκτον εἰς δισύλλαβον, βραχυκατάληκτον. Ἰστέον δὲ ὅτι τὸ αὐτό ἐστιν ἀπόθεσις καὶ κατάληξις· καὶ γενικόν ἐστιν αὕτη τῆς ἀποθέσεως· καὶ εἰδικὸν αὕτη τῆς ἐλαττώσεως. ἀπὸ τούτου οὖν τοῦ εἰδικοῦ ὠνόμασται τὸ ἀκατάληκτον καὶ καταληκτικόν. τὸ γὰρ ὑπερκατάληκτον δύναται ἀπὸ τοῦ γενικοῦ. Ἰστέον δὲ ὅτι ἐὰν ἡ δισύλλαβος ὁ πούς· ὅπερ καὶ ἄνωθεν ἔφαμεν, καὶ ἐνδεῖ μιᾷ συλλαβῇ, λέγεται εἶναι καταληκτικὸν εἰς συλλαβήν· εἰ δὲ τρισύλλαβος ἢ ὁ πούς, καὶ ἐνδεῖ μιᾷ συλλαβῇ, λέγεται εἶναι καταληκτικὸν εἰς δύο συλλαβάς.

Παντὸς μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή, ὥστε δύνασθαι εἶναι αὐτὴν καὶ βραχεῖαν, καὶ μακρὰν οὖσαν,

» Ἄλλοι | μὲν ῥά | θε | οί τε καὶ | ἀνέρες | ἱπποκο | ρυσταί.

» Εὗδον | παννύχι | οι· Δία | δ' οὐκ ἔχε | νήδυμος | ὕπνος.

ἐν μὲν γὰρ τῷ προτέρῳ, μακρά ἐστιν ἡ τελευταία συλλαβή, ἐν δὲ τῷ δευτέρῳ, βραχεῖα.

Πᾶν μέτρον εἰς τελείαν περατοῦται λέξιν, ὅθεν ἐπίληπτά ἐστι τὰ τοιαῦτα. Σιμωνίδου ἐκ τῶν ἐπιγραμμάτων.

» Ἦ μέγ' Ἀ | θηναί | οισι φό | ως γένε | θ' ἡνίκ' Ἀ | ριστο-

» Γείτων | Ἵππαρ | χον κτεῖ | νε καὶ | Ἁρμόδι | ος.

καὶ πάλιν Νικομάχου τοῦ περὶ ζωγράφου τὴν ἐλεγείαν πεποιηκότος,

Οὗτος | δή σοι ὁ | κλεινὸς ἀν' | Ἑλλάδα | πᾶσαν Ἀ | πολλό-

» Δωρος | γινώ | σκεις τοὔ | νομα τοῦ | το κλύων.

Ταῦτα μὲν οὖν ἐγένετο διὰ τὴν τῶν ὀνομάτων ἀνάγκην. οὐ γὰρ ἐνεχώρει. ἔνια δὲ καὶ παίζουσιν οἱ κωμικοί, ὡς Εὔπολις ἐν Βά-



πταις,

» Ἀλλ' οὐ | χὶ δυνα | τὸν ἐ | στιν οὐ | γὰρ ἀλ | λὰ προ-

» βουλεύ | μα βα | στάζει | τι τῆς | πόλεως | μέγα.

## ΠΕΡΙ ΤΟΥ ΙΑΜΒΙΚΟΥ ΜΕΤΡΟΥ.

Περιτταὶ χῶραι.

| | α | γ | ε |
|---|---|---|---|
| | ἴαμβος υ- | ἴαμβος υ- | ἴαμβος υ- |
| | τρίβραχυς υυυ | τρίβραχυς υυυ | τρίβραχυς υυυ |
| | σπονδεῖος -- | σπονδεῖος -- | σπονδεῖος -- |
| | δάκτυλος -υυ | δάκτυλος -υυ | δάκτυλος -υυ |
| | ἀνάπαιστος υυ- | ἀνάπαιστος υυ- | ἀνάπαιστος υυ- |

Ἄρτιοι.

| | β | δ | ς |
|---|---|---|---|
| | ἴαμβος υ- | ἴαμβος υ- | ἴαμβος υ- |
| | τρίβραχυς υυυ | τρίβραχυς υυυ | τρίβραχυς υυυ |
| | ἀνάπαιστος υυ- | ἀνάπαιστος υυ- | ἀνάπαιστος υυ- |

ΤΟ ἰαμβικὸν μέτρον δέχεται κατὰ μὲν τὰς περιττὰς χώρας, τοῦτ' ἔστι πρώτην, τρίτην, καὶ πέμπτην, ἴαμβον, τρίβραχυν, σπονδεῖον, δάκτυλον, ἀνάπαιστον· κατὰ δὲ τὰς ἀρτίους, τοῦτ' ἔστι δευτέραν, τετάρτην, ἕκτην, ἴαμβον, τρίβραχυν, καὶ ἀνάπαιστον. τοῦτον δὲ τὸν ἀνάπαιστον παρὰ μὲν τοῖς κωμικοῖς συνεχῶς· παρὰ δὲ τοῖς ἰαμβοποιοῖς καὶ τραγικοῖς σπανιώτερον. ὅτε μὲν οὖν ἀκατάληκτόν ἐστιν, ἐπὶ τῆς τελευταίας τὸν ἴαμβον δέχεται μόνον, ἢ τὸν πυρρίχιον, διὰ τὴν ἀδιάφορον· ὅτε δὲ καταληκτικόν, τὸν ἴαμβον παραλήγοντα, ἢ σπανίως τρίβραχυν, ὥστε γίνεσθαι τὴν κατακλεῖδα, ἤτοι ἀμφίβραχυν ἢ βακχεῖον. ἔστι δὲ ἐπίσημα ἐν αὐτῷ ἀκατάληκτα μὲν δίμετρα, οἷα τὰ ἀνακρεόντεια ὅλα ᾄσματα γέγραπται· οἷον,

ἰαμβικὸς δίμετρος ἀκατάληκτος.

» Ἐρῶ | τε δηῦ | τε κοὐκ | ἐρῶ.

καὶ ἔστιν ὅμοιος.

» Καὶ μὴ | νομῇ | κοὐ μὴ | νομῇ.

τρίμετρα δέ, ὡς,

ἰαμβικὸς τρίμετρος ἀκατάληκτος.

» Ἐστὲ | ξένοι|σι μει|λίχοις | ἐοι|κότες.

τετράμετρα δέ, οἷον τὸ τοῦ Ἀλκαίου,

ἰαμβικὸς τετράμετρος ἀκατάληκτος.

» Δέξαι | με κω|μάζον|τα δέ|ξαι, λίσ|σομαί | σε, λίσ|σομαι.

καταληκτικὸν δὲ δίμετρον τὸ καλούμενον ἀνακρεόντειον,

ἰαμβικὸς δίμετρος καταληκτικός.

» Ὁ μὲν | θέλων | μάχε|σθαι.

καὶ ἔστιν ὅμοιος.

» Πάρε|στι γὰρ, | μάχε|σθω.

τρίμετρον δέ, οἷον τὸ τοῦ Ἀρχιλόχου,

ἰαμβικὸς τρίμετρος καταληκτικός.

» Ὄλμος | κακοῦ|δὲ γῆ|ερος | καθη|ρεῖ.

τετράμετρον δέ, οἷον τὸ Ἱππώνακτος,

ἰαμβικὸς τετράμετρος καταληκτικός.

» Εἴ μοι | γένοι|το παρ|θένος | καλή | τε καὶ | τέρει|να.

Ἔστιν ἐπίσημον ἐν τοῖς ἀκαταλήκτοις καὶ τὸ χωλὸν καλούμενον· ὅπερ τινὲς μὲν Ἱππώνακτος, τινὲς δὲ Ἀνανίου φασὶν εὕρημα. διαφέρει δὲ τοῦ ὀρθοῦ, ᾗ ἐκεῖνο μὲν τὸν τελευταῖον, ἴαμβον ἔχει, ἢ πυρρίχιον, διὰ τὴν ἀδιάφορον. τοῦτο δὲ ἢ σπονδεῖον, ἢ τροχαῖον καὶ ὅτι ἐκεῖνο μὲν ἐπὶ τῶν παραληγόντων μετὰ τῶν δισυλλάβων δύο ἰάμβους καὶ σπονδείους δέχεται, καὶ τρισυλλάβους τὸν δάκτυλον, τὸν τρίβραχυν, καὶ τὸν ἀνάπαιστον· τὸ δὲ χωλὸν οὐ δέχεται τοὺς παραλήγοντας τρισυλλάβους πόδας, οὔτε δάκτυλον, οὔτε τρίβραχυν,



τρίβραχυν, οὔτε ἀνάπαιστον· ἀλλὰ μάλιστα μὲν ἴαμβον, ὅτε καὶ εὐπρεπές ἐστιν, ὡς τό,

ἰαμβικὸν ἐπίσημον τρίμετρον ἀκατάληκτον, τὸ καλούμενον χωλόν.

» Ἀκού|σαθ' Ἱπ|πώνα|κτος. οὐ | γὰρ, ἀλ|λ' ἥκω.

ἔσθ' ὅτε δὲ καὶ σπονδεῖον, ὅτε καὶ τραχύτερος γίνεται, ὡς τό,

» Εἰς ἄ|κρον ἥ|κων, ὥς|περ ἀλ|λᾶντα | ψύ|χων. ἐπειδὴ δὲ πᾶσα μέτρων ἀρχὴ ἀδιάφορος, καὶ ὁ ἴαμβος ἐδέξατο ἐν ἀρχῇ τὸν σπονδεῖον· τούτου δὲ κοινωνήσαντος τῷ μέτρῳ, καὶ οἱ ἀπ' αὐτοῦ λυθέντες ἐκοινώνησαν καὶ οὗτοι τῷ ἰαμβικῷ μέτρῳ, δάκτυλος φημὶ, καὶ ἀνάπαιστος· ὁ γὰρ χορεῖος τοῦ ἰάμβου ἐστὶ λύσις. ἐπεὶ τοίνυν τὸν σπονδεῖον ἐν ταῖς ἀρτίαις οὐ δέχεται, οὐδὲ τὸν ἀπ' αὐτοῦ λυθέντα ἀνάπαιστον ὀφείλει δέχεσθαι. παρὰ μὲν οὖν τοῖς ἰαμβοποιοῖς τοῦτο σώζεται· παρὰ δὲ κωμικοῖς οὐ λίαν ἀντιποιουμένοις συμμετρίας, οὐκ ἔτι. τὸν δὲ τροχαῖον, ὃς ἀντιπαθεῖ τῷ ἰάμβῳ παρῃτήσαντο. εὑρίσκεται δὲ παρὰ τοῖς κωμικοῖς συνεχῶς ὁ ἀνάπαιστος. τὸν γὰρ βίον οὗτοι μιμούμενοι, θέλουσι δοκεῖν διαλελυμένως διαλέγεσθαι, καὶ μὴ ἐμμέτρως· ὁ δὲ ἀνάπαιστος διαλελυμένην ποιεῖ τὴν φράσιν διὰ τὸ τρίσημον. ἰαμβοποιοὶ μέντοι καὶ τραγῳδιοποιοὶ ὡς μὴ ὄντες τοιοῦτοι, οὐ συνεχῶς κέχρηνται.

Ἀπὸ ἰάμβου πρῶτον ὁ Ἡφαιστίων ἤρξατο, οὐχ ὅτι τῶν ἄλλων τιμιώτερος· ἀλλ' ὅτι τῶν ἄλλων βραχύτερος. ἀπὸ δὲ τῶν βραχυτέρων ἐπὶ τὰ μείζω ἀναβαίνειν ἔθος. διὰ τοῦτο γὰρ καὶ ἐξ ἀρχῆς περὶ βραχείας, εἶτα περὶ μακρᾶς τὸν λόγον ἐποιήσατο, ἰαμβικὸν ἡμῖν προειπεῖν βουλόμενος. ἴαμβος δὲ οὐ πᾶς ἐστὶ λοίδορος. ἐν κωμῳδίᾳ μὲν γὰρ στωμύλλεται καὶ λοιδορεῖ, ἐν τραγῳδίᾳ δὲ πενθεῖ· ἔσθ' ὅτε δὲ καὶ ὕμνοι γράφονται τούτῳ, ὥστε καὶ εὐσεβής. Ἰστέον δὲ ὅτι τῶν καταληκτικῶν ἰάμβων, ὅταν ἐνδέῃ μιᾷ συλλαβῇ, ὁ ἴαμβος παραλήγει, καὶ μετ' αὐτόν ἐστιν ἡ μία συλλαβὴ ἡ τελευταία· ὑπόκειται γὰρ ὁ τελευταῖος ποὺς ἐνδεῖν μιᾷ συλλαβῇ· ἢ ὁ τρίβραχυς παραλήγει. ἀλλ' εἰ μὲν ὁ ἴαμβος παραλήγει μετὰ τῆς τελευταίας συλλαβῆς, λέγεται τὸ τέλος τοῦ ἰάμβου, ἀμφίβραχυς, υ - υ, ἐκ τῆς βραχείας τοῦ ἰάμβου καὶ τῆς μακρᾶς αὐτοῦ, καὶ τῆς βραχείας τῆς τελευταίας συλλαβῆς· εἰ δὲ ὁ τρίβραχυς παραλή

γει, προστιθεμένην δὲ τούτῳ τὴν τελευταίαν συλλαβήν· καὶ εἰ μὲν μακρὰ εἴη αὕτη, ποιήσει αὖ τὸν τέταρτον παίωνα υυυ-· εἰ δὲ βραχεῖα, προκελευσματικὸν υυυυ· τὰ δὲ αὐτοῦ περὶ αὐτοῦ εἰρημένα, περὶ μόνης τῆς τοῦ ἰάμβου παραλήξεως εἴρηται· εἰ δὲ σπονδεῖος εἴη παραλήγων, εἰ μὲν μακρὰ εἴη ἡ λήγουσα, γίνεται μολοττὸς ---. εἰ δὲ βραχεῖα, ἐπίτριτος τέταρτος ---υ. πάλιν εἰ ἴαμβος παραλήγει, τῆς ἐπιφερομένης μακρᾶς οὔσης, γίνεται βακχεῖος. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι πεντάμετρα βραχυκατάληκτα καλεῖται, οἷον τὸ,

Πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε; τίς σὰς παρήειρε φρένας.

Ἐπεὶ δὲ οὐκ ἐνδέχεται στίχον τετράσημον εἶναι, ἀλλ᾽ εἰ εὑρεθείη, περίοδος καλεῖται ἄχρι τούτου ἐστὶν ὁ κανών. εἰ δὲ καθαρὰ ἦν τὰ ἰαμβικά, ἐδέχετο δὲ τὰς ἄλλας δύο παραυξήσεις· ἐπεὶ δὲ οὐκ ἐνδέχεται συζυγία ἑπτάσημος καὶ ὀκτάσημος, ἕως αὐτῶν ἔστησαν, τὴν μέσην τάξιν ὁδεύσαντες, δύο ποιήσαντες ἑπτασήμους, καὶ τὴν κατακλεῖδα ἑπτάσημον.

## ΠΕΡΙ ΤΟΥ ΤΡΟΧΑΙΚΟΥ ΜΕΤΡΟΥ.

Περιτταὶ χῶραι.

α: τροχαῖος -υ, τρίβραχυς υυυ, δάκτυλος -υυ

γ: τροχαῖος -υ, τρίβραχυς υυυ, δάκτυλος -υυ

τροχαῖος -υ, τρίβραχυς υυυ, δάκτυλος -υυ

Ἄρτιοι.

β: τροχαῖος -υ, τρίβραχυς υυυ, δάκτυλος -υυ, σπονδεῖος --, ἀνάπαιστος υυ-

δ: τροχαῖος -υ, τρίβραχυς υυυ, δάκτυλος -υυ, σπονδεῖος --, ἀνάπαιστος υυ-

ς: τροχαῖος -υ, τρίβραχυς υυυ, δάκτυλος -υυ, σπονδεῖος --, ἀνάπαιστος υυ-

ΤΟ τροχαϊκὸν κατὰ μὲν τὰς περιττὰς χώρας δέχεται τροχαῖον, τρίβραχυν, ἴαμβον, καὶ δάκτυλον· κατὰ δὲ τὰς ἀρτίους τούτους τε, καὶ σπονδεῖον, καὶ ἀνάπαιστον. καταληκτικὸν δὲ ὅτε ἐστί, τὸν παραλήγοντα μάλιστα μὲν τροχαῖον δέχεται, ἔστι δ᾽ ὅτε καὶ τρίβραχυν· καὶ ἐὰν ᾖ βραχυκατάληκτον, οὐ βούλεται τὸν παραλήγοντα τετράσημον ἔχειν. ἔστι δὲ ἐπίσημα ἐν αὐτῷ καταληκτικά· δίμετρον μὲν καταληκτικόν, τὸ καλούμενον Εὐριπίδειον ἢ ληκύθιον· οἷον τὸ,

„ Νῦν δέ|μοι πρὸ|τειχέ|ων, Θούρι|ος μο|λὼν ἄ|ρης.



τρίμετρον δὲ καταληκτικόν, οἷόν ἐστι τὸ Ἀρχιλόχου, ὅ τινες ἀκέφαλον ἰαμβικὸν καλοῦσι.

„ Ζεῦ πά|τερ γά|μον μὲν|οὐκ ἐ|δαισά|μην.

τετράμετρον δὲ καταληκτικόν, οἷον,

„ Ἐρξί|η πῇ|δηὖτ᾽ ἄ|νολβος|ἀθρο|ΐζε|ται στρα|τός.

Τοῦτο δὲ τὸ μέτρον γίνεται καὶ χωλὸν τοῦ παρατελευταίου ποδὸς σπονδείου γινομένου.

„ Μὴ τρ|ίτῳ μῷ|δευτέ|με χρὴ|τῷ σκό|τῳ δι|κάζε|σθαι·

καὶ τῷ πενταμέτρῳ δὲ καίπερ ὄντι ὑπερμέτρῳ, πολλοὺς κεχρῆσθαι συμβέβηκεν· οἷόν ἐστι καὶ τὸ Καλλιμάχου,

„ Ἔρχε|ται πο|λὺς μὲν|Αἰγαῖ|ον δι|ανή|ξας ἀ|π᾽ Οἰνη|ρῆς χί|ου

Ἔστι δὲ ἐν αὐτῷ ἐπίσημον καὶ τὸ δίμετρον βραχυκατάληκτον, τὸ καλούμενον ἰθυφαλλικόν, ᾧ πρῶτος Ἀρχίλοχος μὲν ἐχρήσατο, συζεύξας αὐτὸ δακτυλικῷ τετραμέτρῳ, οὕτως,

„ Οὐκέθ᾽ ὁ|μῶς θάλ|λεις ἁπα|λὸν χρόα·

„ Κάρφε|ται γὰρ|ἤδη· οἱ δὲ μετὰ ταῦτα καὶ ἐπήγαγον αὐτὸ ἰαμβείῳ, ὥσπερ ὁ Καλλίμαχος,

„ Ἑρμᾶς,|ὁ περ|φεραῖ|ος αἰ|νέ|ων θεὸς ἐμμὶ|τῶ φυ|γαίχμα.

ὁμοίως δὲ καὶ τὸ τετράμετρον βραχυκατάληκτον, ἐστὶν ἐπίσημον· οἷον,

„ Οὐδ᾽ ἀ|μειψί|ας ὁ|ῥᾶστε|παλωχὸν|ὄντ᾽ ἐ|φ᾽ ἡμῖν.

καὶ τῶν ἀκαταλήκτων δὲ τὸ τετράμετρόν ἐστιν ἔνδοξον· οἷόν ἐστι τὸ τοῦ Ἀνακρέοντος,

„ Κλῦθί|μευ γέ|ροντος|εὐέ|θειρα|χρυσό|πεπλε|κοῦρα.

Τὰ μὲν οὖν ἐπισημότατα ἐν αὐτῷ ταῦτά ἐστι. τῷ δὲ δακτύλῳ τῷ κατὰ τὰς περιττὰς ἐμπίπτοντι χώρας, ἥκιστα οἱ ἰαμβοποιοὶ ἐχρήσαντο ποιηταί· σπανίως δὲ καὶ οἱ τραγικοί, οἱ δὲ κωμικοὶ συνεχῶς, ὥσπερ καὶ τῷ ἰαμβικῷ, τῷ ἐπὶ τῆς ἀρτίου ἀναπαίστῳ. ἑκάτερον γὰρ ἄλογον. οὔτε γὰρ ἐν τῷ ἰαμβικῷ ἐχρῆν ἀνάπαιστον ἐπὶ τῆς ἀρτίου χώρας, ἐφ' ἧς οὐδὲ σπονδεῖος ἐγχωρεῖ, οὗ λύσις ἐστὶν ὁ ἀνάπαιστος· οὔτε ἐν τῷ τροχαϊκῷ, ἐπὶ τῆς περιττῆς τὸν δάκτυλον, ἐφ' ἧς οὐδὲ σπονδεῖος ἐγχωρεῖ, οὗ ὁμοίως λύσις ὁ δάκτυλος. ἔτι μέντοι καὶ ἐν τοῖς καταληκτικοῖς καὶ ὁ τρίβραχυς ἐγχωρεῖ, καθάπερ προειρήκαμεν, οὐ μόνον ὁ τροχαῖος, ὥς τινες οἴονται. παράδειγμα τόδε·

Τροχαϊκὸν τετράμετρον καταληκτικόν.

„ Τῶν πο|λιτῶν| ἄνδρας| ὑμῖν| δημι|ουργοὺς| ἀποφα|νῶ.

τῆς γὰρ κατακλεῖδος οὔσης ἀποφανῶ, δῆλον ὡς ὁ παρακείμενος ποὺς ἀποφα, ἐστὶ τρίβραχυς, ὡς προείρηται.

Ἀκολούθως ὁ λόγος μετὰ τὸ ἰαμβικὸν ἥκει ἐπὶ τὸ τροχαϊκόν. ἄμφω γὰρ μιᾶς ἐπιπλοκῆς εἰσί, τῆς καλουμένης τετρασήμου ἢ ἑξασήμου δυαδικῆς· ὅμως τε καὶ ἀντιπαθής ἐστιν αὐτῶν, καὶ εὐπρεπὴς ἑκατέρα τομή· γένεσίς τέ ἐστιν ἑκατέρῳ ἡ αὐτή. καὶ γὰρ τῷ ἰαμβικῷ εἰ προστεθείης κατ' ἀρχὴν μακρὰν συλλαβήν, τροχαϊκὸν ποιήσεις· εἰ δὲ τῷ τροχαϊκῷ βραχεῖαν, ἰαμβικόν. ἐπειδὴ ὁ ἴαμβος κατὰ τὰς περιττὰς τοὺς πέντε δέχεται, κατὰ δὲ τὰς ἀρτίους τοὺς τρεῖς· τὸ δὲ τροχαϊκὸν τοὐναντίον. Τετράσημον) Σημασία οἱ χρόνοι παρὰ τοῖς μετρικοῖς καλοῦνται. Νῦν δέ μοι.) Τροχαϊκὸν δίμετρον καταληκτικόν, τὸ καλούμενον εὐριπίδειον, ἢ ληκύθιον, ἁπλῶν ποδῶν τριῶν καὶ μιᾶς συλλαβῆς. Ληκύθιον δέ φασιν αὐτό, ἢ διὰ Ἀριστοφάνην σκώπτοντα τὸ μέτρον τὸ ἑφθημιμερὲς Εὐριπίδου, τό,

Θοαῖσιν ἵπποισι. Αἰ. Ληκύθιον ἀπώλεσεν.

ἢ διὰ τὸν βόμβον τὸν τραγικόν. βόμβος γὰρ γίνεται περὶ τὸ ληκύθιον, ἐκ τοῦ ἐμπεριεχομένου αὐτῷ ἀέρος κινουμένου, ἢ ὑπὸ πνεύματος ἀνδρός, ἢ ὑπ' ἄλλου· διὸ καὶ Καλλίμαχος, μοῦσαν ληκυθίαν τὴν τραγῳδίαν λέγει. Ζεῦ πάτερ) Τροχαϊκὸν τρίμετρον καταληκτικόν, ἢ ἀκέφαλον ἰαμβικόν, πέντε πόδας ἔχον καὶ συλλαβήν. ἀκέφαλον δέ φασιν αὐτὸ εἶναι ὡς πρὸς ἴαμβον· ἐὰν γὰρ δέξηται ἔξωθεν βραχεῖαν συλλαβήν, ἴαμβος γίνεται. ἐπειδὴ δὲ ἀδύνατόν ἐστιν ὑπερβῆναι στίχον οἷον δήποτε τοὺς λβ. χρόνους, διὸ βραχεῖαν ἀνέφαμεν δέχεσθαι, Χωλὸν) Εἰ παραλήγει ὁ σπονδεῖος τοῖς καταληκτικοῖς, χωλὸν ἀποτελεῖ τὸ μέτρον. ἡ γὰρ πρὸ τῆς καταληγούσης συλλαβῆς χώρα περιττή ἐστιν. ἑβδόμη γάρ. Ἔρχεται) Τροχαϊ-



κὸν πεντάμετρον καταληκτικόν, τὸ καλούμενον κλεομάχειον, ποδῶν ἁπλῶν θ, καὶ μιᾶς συλλαβῆς. καλῶς δὲ εἶπε καίπερ ὄντι ὑπερμέτρῳ, ἔχοντι δέκα πόδας. εὑρίσκονται καὶ τετράχρονοι, καὶ ὑπερβαίνουσι τοὺς λβ χρόνους. Κάρφεται) Τροχαϊκὸν δίμετρον βραχυκατάληκτον ὃ καλεῖται ἰθυφαλλικόν, τρεῖς ἔχον τροχαίους, διὸ καὶ βραχυκατάληκτον αὐτὸ λέγει· λέγεται δὲ ἰθυφαλλικόν, ἐπειδὴ τούτῳ ἐκέχρηντο ἐν τῇ τοῦ ἰθυφάλλου πομπῇ. Οἱ δὲ κωμικοὶ) Ὥσπερ ἐπὶ τοῦ ἰάμβου κατὰ τὰς ἀρτίους τὸν ἀνάπαιστον ἐλάμβανον οἱ κωμικοί, οἱ δὲ τραγικοὶ καὶ ἰαμβοποιοὶ σπανίως· οὕτω καὶ ἐνταῦθα δακτύλῳ κατὰ τὰς περιττάς φησι χρῆσθαι τοὺς κωμικοὺς διὰ τὸ ὁμιλητικόν, καὶ τὸ βούλεσθαι δοκεῖν τὸ μέτρον εἶναι διαλελυμένον. τῆς γὰρ προτέρας τοῦ σπονδείου μακρᾶς εἰς δύο βραχείας διαλυομένης, ἀνάπαιστος γίνεται· ὁμοίως δὲ καὶ τῆς δευτέρας διαλυομένης, ὁ δάκτυλος.

# ΠΕΡΙ ΤΟΥ ΔΑΚΤΥΛΙΚΟΥ ΜΕΤΡΟΥ.

χῶραι

| | | |
|---|---|---|
| α | δάκτυλος - υ υ | σπονδεῖος - - |
| β | δάκτυλος - υ υ | σπονδεῖος - - |
| γ | δάκτυλος - υ υ | σπονδεῖος - - |
| δ | δάκτυλος - υ υ | σπονδεῖος - - |
| ε | δάκτυλος - υ υ | σπονδεῖος - - |
| ϛ | σπονδεῖος - - | τροχαῖος - υ |

ΤΟ δακτυλικὸν δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν, πλὴν τῆς τελευταίας· ἐπὶ ταύτης δέ, εἰ μὲν ἀκατάληκτον εἴη, δάκτυλον ἕξει, ἢ διὰ τὴν ἀδιάφορον, κρητικόν· εἰ δὲ καταληκτικόν, τὰ ἀπ' αὐτοῦ μεμειωμένα, ἤτοι συλλαβῇ, ἢ δύο συλλαβαῖς· καὶ τὸ μὲν καλεῖται καταληκτικὸν εἰς συλλαβήν, τὸ δὲ καταληκτικὸν εἰς δισύλλαβον. ἐπισημότατον δ' ἐστὶν ἐν αὐτῷ τό, ἑξάμετρον, καταληκτικὸν εἰς δισύλλαβον τὸ καλούμενον ἔπος· οἷον,

„ Μῆνιν ἄ|ειδε θε|ὰ πη|ληϊά|δεω ἀχι|λῆος.

ἐπὶ γὰρ τῆς ἐσχάτης λέξεως τῆς λῆος, λείπει ὁ δάκτυλος μιᾷ συλλαβῇ. καὶ τὸ πεντάμετρον δὲ καταληκτικὸν εἰς δισύλλαβον, τὸ καλούμενον σιμμίειον· οἷον,

„ Χαῖρε ἄ|ναξ ἑτα|ρε, ζαθέ|ας μάκαρ|ἥβας.

καὶ τὸ τετράμετρον, εἰς δισύλλαβον καταληκτικόν, ᾧ πρῶτος

ἐχρήσατο Ἀρχίλοχος ἐν ἐπῳδοῖς.

» Φαινόμε|νον κακὸν|οἴκαδ' ἀ|γέσθαι.

ὕστερον δὲ Ἀνακρέων τούτῳ τῷ μέτρῳ καὶ ὅλα ᾄσματα συνέθηκεν.

» Ἀδυμε|λὲς χαρί|εσσα χε|λιδοῖ.

» Μνᾶται| δεῦτε Φα|λακρὸς Ἀ|λέξις.

Ταῦτα μὲν οὖν τῶν εἰς δισύλλαβον καταληκτικῶν παραδείγματα· τῶν δὲ εἰς συλλαβήν, τῷ μὲν πενθημιμερεῖ πρὸς δύο ποσὶν οὐσῶν τῶν συλλαβῶν Ἀρχίλοχος κέχρηται ἐν ἐπῳδῇ.

» Ἐν δὲ βα|τουσιά|δης.

τῷ δ' ἑφθημιμερεῖ Ἀλκμάν.

» Ταῦτα μὲν|ὡς ἂν ὁ|δᾶμος ἅ|πας.

καὶ τῶν ἀκαταλήκτων δὲ, τὸ τετράμετρον Ἀρχίλοχος ἔνδοξον ἐποίησε, διὰ τὸ προτάξαι αὐτὸ τοῦ τροχαϊκοῦ τοῦ καλουμένου ἰθυφαλλικοῦ, οὕτως·

» Οὐκ ἔθ' ὁ|μῶς θάλ|λεις ἁπα|λὸν χρόα.

» Κάρφε|ται γὰρ|ἤδη.

Ἀλκμὰν δὲ καὶ ὅλας στροφὰς τούτῳ τῷ μέτρῳ κατεμέτρησε.

» Μῶσ' ἄγε|Καλλιό|πα θύγα|τερ Διὸς|

» Ἄρχ' ἐρα|τῶν ἐπέ|ων. ἐπὶ| δ' ἵμερον

» Ὕμνῳ| καὶ χαρί|εντα τί|θη χορόν.

Ταῦτα μὲν οὖν κοινὰ δακτυλικά.

Τοῦ ἡρωϊκοῦ μέτρου εἰσὶν ὀνομασίαι πέντε, Δακτυλικὸν, ἀπὸ τοῦ ποδὸς τοῦ ἁρμόζοντος αὐτῷ. Ἡρῷον, ὑπὸ τοῦ τὰς πράξεις τῶν ἡρώων τούτῳ γεγράφθαι τῷ μέτρῳ· ἢ ὅτι εὔρωστον τοῦτο τὸ μέτρον ὡς καὶ οἱ ἥρωες. Πυθικὸν, ἀπὸ τοῦ τὸν πύθιον τούτῳ κεχρῆσθαι τῷ μέτρῳ. Ἔπος, κατ' ἐξοχὴν, ἀπὸ τοῦ ἕπεσθαι ταῖς βάσεις ἀλλήλαις, καὶ τῶν ἄλλων ἀρχαιότερον εἶναι. Ἑξάμετρον, ἀπὸ τοῦ ἀριθμοῦ τῶν βάσεων.



## ΠΕΡΙ ΑΙΟΛΙΚΟΥ ΚΑΛΟΥΜΕΝΟΥ ΜΕΤΡΟΥ.

Χῶραι

| | | |
|---|---|---|
| α. σπονδεῖος – – | β. δάκτυλος – υυ | ζ. δάκτυλος – υυ |
| ἴαμβος υ – | γ. δάκτυλος – υυ | ἀμφίμακρος – υ – |
| τροχαῖος – υ | δ. δάκτυλος – υυ | |
| πυῤῥίχιος υυ | ε. δάκτυλος – υυ | |

ΤΑ δὲ αἰολικὰ καλούμενα, τὸν μὲν πρῶτον ἔχει πόδα πάντως ἕνα τῶν δισυλλάβων ἀδιαφόρως, ἤτοι σπονδεῖον, ἢ ἴαμβον, ἢ τροχαῖον, ἢ πυῤῥίχιον· τοὺς δὲ ἐν μέσῳ, δακτύλους πάντας. τὸν δὲ τελευταῖον πρὸς τὴν ὑπόθεσιν δάκτυλον μὲν, ἢ κρητικὸν, διὰ τὸ τῆς τελευταίας ἀδιαφόρως, ἐὰν ἀκατάληκτον ᾖ· ἐὰν δὲ καταληκτικὸν, καὶ τὰ ἀπὸ τούτου μεμειωμένα, εἰς δισύλλαβον καὶ συλλαβήν. τὸ μὲν οὖν αἰολικὸν ἔπος τὸ καταληκτικὸν τοιοῦτόν ἐστι.

» Κέλο|μαί τινα|τὸν χαρί|εντα Μέ|νωνα κα|λέσσαι,

» Εἰ χρὴ|συμποσί|ας ἐπ' ὀ|νασιν ἐ|μοὶ γεγε|νῆσθαι.

Πεντάμετρα δὲ καταληκτικὰ εἰς δισύλλαβον.

» Τίῳ|σ' ὦ φίλε|γαμβρὲ, κα|λῶς εἰ|κάσδω.

» Ὄρπα|κι βραδι|νῷ σε μά|λιστ' εἰ|κάσδω.

τὸ δὲ τετράμετρον.

» Θυρω|ρῷ πόδες|ἑπταόρ|γυιοι.

» Τὰ δὲ|σύμβολα|πεντάβο|εια

» Πίσυγ|γοι δὲ δέ|κ' ἐξεπό|νησαν.

Τῶν δὲ ἀκαταλήκτων, τὸ μὲν πεντάμετρον καλεῖται Σαπφικὸν τεσσαρεσκαιδεκασύλλαβον, ᾧ τὸ δεύτερον Σαπφοῦς ὅλον γε-

γράφειν·

» Ἠρά|μαν μὲν ἐ|γὼ σέθεν | ἄτε πά|λαι ποκά.

τὸ δὲ τετράμετρον ἀκατάληκτόν ἐστι τοιοῦτον·

» Ἔρος|δ' αὖτέ μ' ὁ| λυσιμέ|λης δόνει,

» Γλυκύ|πικρον ἀ|μάχανον|ὄρπετον.

» Ἀτθὶς,|σοὶ δ' ἐμέ|θεν μὲν ἀ|πήχθετο.

» Φροντὶς|δ' ἔω, ἐπὶ|δ' Ἀνδρομέ|δαν ποτέ.

Ἔστι δέ τινα καὶ λογαοιδικὰ καλούμενα δακτυλικά, ἃ τὰς μὲν ἐν ταῖς ἄλλαις χώραις δακτύλους ἔχει· τελευταίαν δὲ τροχαϊκὴν συζυγίαν· ἔστι δὲ αὐτῶν ἐπισημότατα, τό, τε πρὸς δύο δακτύλοις ἔχον τροχαϊκὴν συζυγίαν, καλούμενον δὲ ἀλκαϊκὸν δεκασύλλαβον·

» Καί τις ἐ|π' ἐσχατι|αῖσιν|οἰκεῖς.

καὶ τὸ πρὸς τρισί, καλούμενον πραξίλλειον,

» Ὦ διὰ|τῶν θυρί|δων καλὸν|ἐμβλέ|ποισα,

» Παρθένε|τὰν κεφα|λὰν, τὰ δ' ἔ|νερθε|νύμφα.

Τίω σ' ὦ) Αἰολικὸν πεντάμετρον τοῦ ἑξαμέτρου δακτύλῳ μεμειωμένον. τὸ δὲ βραδινῷ, ἀντὶ τοῦ ῥαδινῷ ἐστὶ, πλεονασμῷ τοῦ β αἰολικῶς. Θυρωρῷ) Αἰολικὸν τετράμετρον, τοῦ ἑξαμέτρου δυσὶ δακτύλοις μεμειωμένον· τὸ δὲ ἑπταθόργυιοι, ἀντὶ τοῦ ἑπταόργυιοι. Ἠράμαν) Ὁ πρῶτος δισύλλαβος, οἱ δὲ ἑξῆς τέσσαρες τετρασύλλαβοι, ποδῶν ιβ. καὶ οὕτω γίνεται τὸ ὅλον δεκατεσσάρων συλλαβῶν. πανταχοῦ γὰρ ἐν τῷ αἰολικῷ ὁ πρῶτος δισύλλαβος ἀδιάφορος. Λογαοιδικά.) Λογαοιδικὰ ταῦτα καλεῖται, ὅτι ὁ μὲν δάκτυλος ἀοιδοῖς μᾶλλον ἐπιτήδειος· ὁ δὲ τροχαῖος λογογράφοις. Λογαοιδικὸν οὖν καλεῖται τὸ μέτρον ὡς ἐκ δακτύλου καὶ τροχαίου συγκείμενον, ἀοιδικὸν μὲν διὰ τὸν δάκτυλον· ἐπειδὴ εὔρυθμος· λογικὸν δὲ διὰ τὸν τροχαῖον. διὸ καὶ οἱ παλαιοὶ κέχρηνται αὐτῷ, ὅτι θέλουσι τρέχειν λόγον· τοιαύτη γὰρ ἡ ῥητορικὴ καταλογάδην οὖσα.





# ΠΕΡΙ ΤΟΥ ΑΝΑΠΑΙΣΤΙΚΟΥ ΜΕΤΡΟΥ.

ΤΟ ἀναπαιστικὸν κατὰ πᾶσαν χώραν δέχεται σπονδεῖον, ἀνάπαιστον, σπανίως δὲ καὶ προκελευσματικόν· παρὰ δὲ τοῖς δραματοποιοῖς, καὶ ἴαμβον καὶ δάκτυλον. εἰσὶ δὲ αὐτοῦ ἀποθέσεις ἓξ κατὰ συζυγίαν διαιρούμεναι, ὑπερκατάληκτος εἰς δισύλλαβον, ὑπερκατάληκτος εἰς συλλαβὴν, ἀκατάληκτος· καταληκτικὴ εἰς δισύλλαβον, καταληκτικὴ εἰς συλλαβὴν, βραχυκατάληκτος.

Ἐπισημότατον δὲ ἐν αὐτῷ ἐστὶ τὸ τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν τὸ καλούμενον Ἀριστοφάνειον.

» Ὅτ' ἐγὼ|τὰ δίκαι|α λέγων|ἤνθουν|καὶ σω|φροσύνη|

νενόμι|στο. κέκληται δὲ ἀριστοφάνειον, οὐκ Ἀριστοφάνους αὐτὸ εὑρόντος πρῶτον, ἐπεὶ καὶ παρὰ Κρατίνῳ ἐστί·

» Χαίρετε|δαίμονες|οἳ Λεβά|δειαν|Βοιώ|τιον οὖ|θαρ ἀρού|ρης

ἀλλὰ διὰ τὸ τὸν Ἀριστοφάνην αὐτῷ κεχρῆσθαι πολλῷ. καὶ πρὸ Κρατίνου παρ' Ἐπιχάρμῳ, ὃς καὶ ὅλα δύο δράματα τούτῳ τῷ μέτρῳ γέγραφε, τούς τε χορεύοντας, καὶ τὸν ἐπινίκιον. Ἀριστόξενος δὲ ὁ σελινούντιος Ἐπιχάρμου πρεσβύτερος ἐγένετο ποιητὴς, οὗ καὶ αὐτὸς Ἐπίχαρμος μνημονεύει ἐν λόγῳ, καὶ Λογῖνος, Οἳ τοὺς ἰάμβους καὶ τὸν ἄριστον τρόπον, Ὃν πρᾶτος εἰσηγήσατο ὁ Ἀριστόξενος. καὶ τούτου τοίνυν τοῦ Ἀριστοξένου μνημονεύεταί τινα τούτῳ τῷ μέτρῳ γεγραμμένα.

» Τίς ἀλαζὸ|νεύ|πλείσταν|παρέχει|τῶν ἀν|θρώπων·|τοὶ μάν|τεις.

τὸ μέντοι τὸν σπονδεῖον ἔχον, ἀλλὰ μὴ τὸν ἀνάπαιστον παραλήγοντα, εἰσὶν οἳ λακωνικὸν καλοῦσι, προφερόμενοι παραδείγματα.

» Ἀγεῖ ὦ|Σπάρτας|ἔνοπλοι|κοῦροι|ποτὶ τὰν|Ἄρεως|κίνα|σιν.

ὅτι μέντοι καὶ ἐν τῷ ἀριστοφανείῳ καλουμένῳ ἀδιαφόρως εὑρίσκεται ὁ παραλήγων ἀνάπαιστος, ἢ σπονδεῖος, δηλώσει Κρατῖνος. εἰς γὰρ τοὺς Ὀδυσσέας εἰσβάλλων, τούτῳ τῷ μέτρῳ ἐχρήσατο·

» Τίνες αὖ|πόντου|κατέχου|σ' αὖραι|νέφος οὐ|ράνιον·|τόσσ' ὄ-

ρα|μαι. ἐποίησε δὲ τινὰ στίχον καὶ σπονδείῳ τῷ παραλήγοντι κεχρημένον.

» Ὡς ἂν|μᾶλλον|τοῖς πη|δαλίοις|ἡ ναῦς|ἡμῶν|πειθαρ|χῇ.

τῷ δὲ τριμέτρῳ Σιμμίας ὁ ῥόδιος ὅλον ποιημάτιον ἔγραψεν.

» Ἴστα|ἁγνὰ ἀ|π' εὐξεί|νων μέσα|τοίχων.

Τὸ δὲ δίμετρον καταληκτικὸν, καλεῖται μὲν προοιμιακὸν, διὰ τὸ προοιμίας τινὰς ἐν τούτῳ τῷ μέτρῳ εἶναι.

» Πότε δ' Ἄρ|τεμις οὐκ|ἐχόρευ|σε.

» Καὶ κόρ|κορος ἐν|λαχάνοι|σιν.

ἀλλὰ προοιμίαι εἰσὶ καὶ ἐπικαὶ, καὶ ἰαμβικαὶ, καὶ οὐ τούτου τοῦ μέτρου μόνον· ὥστε οὐκ εἰκότως προοιμιακὸν τοῦτο μόνον καλοῦσι. Κρατῖνος δὲ ἐν Ὀδυσσεῦσι συνεχεῖ αὐτῷ ἐχρήσατο.

» Σιγᾶν|νυν ἅπας|ἔχε σί|γαν·

» Καὶ πάν|τα λόγον|τάχα πεύ|σῃ·

» Ἡμῖν|δ' Ἰθάκη|πατρίς ἐ|στι.

» Πλεόμεν|δ' ἅμ' Ὀδυσ|σεῖ θεί|ῳ.



πρῶτος δὲ Ἀρχίλοχος ἐχρήσατο τῷ μεγέθει τούτῳ, ἐν τοῖς τετραμέτροις προτάξας αὐτὸ τοῦ ἰθυφαλλικοῦ. τὸ γὰρ

» Ἐρασ|μονίδη|Χαρίλα|ε, ἑφθημιμερὲς ἀναπαιστικόν. ἐχρήσατο δὲ τῷ πρώτῳ ποδὶ καὶ ἰάμβῳ, ὡς καὶ ἐπὶ τοῦ παραδείγματός ἐστι δῆλον· καὶ σπονδείῳ,

» Δήμη|τρί τε χεῖ|ρας ἀνέ|ξων.

ἀναπαίστῳ δὲ τῷ πρώτῳ ἐπὶ δύο μόνων στίχων κεχρῆσθαι δοκεῖ.

» Ἐρεω|πολὺ φίλ|τατ' ἑταί|ρων. καὶ πάλιν,

» Φιλέειν|στυγνόν|περ ἐόν|τα.

ταῦτα δὲ ἀμφότερα κατὰ συνεκφώνησιν ἴαμβον ἔχει τὸν πρῶτον πόδα. τῷ δὲ ἀναπαιστικῷ ὑποστέλλοιτο ἂν καὶ τὸ προκελευσματικὸν ὑπό τινων καλούμενον· οἷόν ἐστι τὸ τετράμετρον τοῦτο τὸ ἀριστοφάνειον,

» Τίς ὄρεα|βαθύκομα|τάδ' ἐπέσυ|το βροτῶν.

γίνεται γὰρ ἑκάστου τῶν πρώτων τριῶν ποδῶν ἀναπαίστων λελυμένου εἰς τὸν προκελευσματικὸν, τετράμετρον ἀκατάληκτον ἀναπαιστικόν. τινὲς δὲ αὐτὸ κατὰ πόδα διαιροῦντες πυρριχαϊκὸν καλοῦσι· τοῖς δὲ χαριεστέροις δοκεῖ ἀναπαιστικὸν εἶναι, ἀντὶ ἑκάστου ἀναπαίστου προκελευσματικοῦ παραλαμβανομένου ἐπὶ τῶν ἄλλων χωρῶν· ἐπὶ δὲ τῆς τελευταίας φυλαττομένου αὐτοῦ καθαροῦ καὶ μὴ λελυμένου. Ὥσπερ δὲ ἐν τῷ δακτυλικῷ ἦν τι λογαοιδικὸν οὕτω, κἀν τοῖς ἀναπαιστικοῖς, τὸ εἰς βακχεῖον περαιούμενον· οὗ ἐστιν ἐπισημότατον, τὸ μετὰ τέτταρας πόδας αὐτὸν ἔχον τὸν βακχεῖον, ὧν ὁ πρῶτος γίνεται καὶ σπονδεῖος καὶ ἴαμβος. καλεῖται μὲν οὖν ἀρχεβούλειον, ἀπὸ Ἀρχεβούλου τοῦ θηβαίου ποιη-

τοῦ κεχρῆσθαι μὲν αὐτῷ κατακόρως· γέγραπται δὲ καὶ Καλλιμάχῳ.

Ἀγέτω | θεὸς· οὐ | γὰρ ἔχω | δίχα τὴν | δ' ἀείδειν.

τοῦτο μὲν οὖν ἀπὸ ἀναπαίστου· ἀπὸ δὲ σπονδείου,

Νύμφα | σὺ μὲν Ἀ | στερίαν | ὑφ' ἅμα | ξαν ἤδη.

ἀπὸ δὲ ἰάμβου,

Φιλω | τέρα γὰρ | τι γὰρ οἱ, | σικελὰ | μὲν, Ἔννα.

τοὺς δὲ μετὰ τὸν πρῶτον πόδα τρεῖς, οἱ μὲν ἐν συνεχείᾳ γράψαντες τὸ μέτρον, πάντως ἀναπαίστους ἐφύλαξαν· Ἀλκμὰν δέ που καὶ σπονδείους παραλαμβάνει.

Ὥσπερ τροχαϊκὸν ποιεῖ τμηθεὶς ὁ ἴαμβος, οὕτω καὶ ἀναπαιστικοῦ γένος μὲν δάκτυλος, γένεσις δὲ δακτυλικόν. ἐὰν γὰρ μίαν ἀφέλῃς τοῦ δακτυλικοῦ συλλαβήν, τὸ καταλειπόμενον εἴη πάντως ἀναπαιστικόν. οἷον τοῦ

Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.

ἀφελομένης τῆς τὸν συλλαβῆς, ἀναπαιστικὸν γίνεται

Ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.

Ὑπερκατάλ.) Ὑπερκατάληκτος εἰς συλλαβήν, ὅταν μετὰ συζυγίαν εἰς μίαν συλλαβὴν καταλήξῃ· ἀκατάληκτος δέ, ὅταν ἡ συζυγία ἀπαρτισθῇ εἰς τὴν κατάληξιν· καταληκτικὴ δὲ εἰς δισύλλαβον, ὅταν μετὰ ἕνα πόδα, εἰς δύο συλλαβὰς λήξῃ. βραχυκατάληκτος δέ, ὅταν εἰς ἕνα πόδα ὁλόκληρον λήξῃ. Ὅτ' ἐγὼ) Ἀναπαιστικὸν τὸ καλούμενον Ἀριστοφάνειον, λεῖπον δύο συλλαβαῖς, ποδῶν ὂν ἑπτά, καὶ συλλαβῆς μιᾶς. δύο συλλαβαῖς λείπει τὸ σο, πρὸς τὸ γενέσθαι ἀνάπαιστον· καὶ διὰ τοῦτο λέγεται τετράμετρον καταληκτικὸν εἰς συλλαβήν.

Χαίρετε δαίμονες) Τετράσημόν ἐστιν, ἐκ δακτύλου καὶ ἀναπαίστου. εἰ γὰρ μὴ συνάψομεν τοὺς δακτύλους τοῖς ἀναπαίστοις, οὐ γίνεται ἀναπαιστικὸν τετράμετρον. Καὶ Λογγῖνος) Τοῦτο τινὲς μέν, ὡς εἶχον μετροῦσιν, ἀρχόμενοι ἀπὸ τοῦ, οἱ τοὺς ἰάμβους· τινὲς δὲ λέγουσι τίθεσθαι αὐτὸ εἰς μνήμην τῶν Ἀριστοξένου λόγων. Οὐκ εἰκότως παροιμιακὸν) Οὐ καλῶς λέγει τοῦτο ὁ Ἡφαιστίων. οὐδὲν γὰρ πρᾶγμα, παροιμιακὸν αὐτὸ καλεῖσθαι, εἴ τινες γράψαντες παροιμίας, κατεχρήσαντο τῷ μέτρῳ, καὶ ἰαμβικῶν, καὶ ἐπικῶν οὐσῶν παροιμιῶν. ὡς γὰρ τὸ Ἀριστοφάνειον μέτρον, καίπερ Ἀριστοφάνους μὴ εὑρηκότος, ὅμως τῷ καταχρήσασθαι τοῦτον αὐτῷ, ὀνομάζεσθαι οὕτω τὸ μέτρον παρέσχετο· ὡσαύτως κἀνταῦθα· ὥστε μάτην ὁ Ἡφαιστίων ἐμέμψατο. Καὶ ἰάμβῳ) Καλῶς πάνυ ὁ Λογγῖνος ἐποίησε τὴν αἰτίαν, δι' ἣν δέχεται τὸ μέτρον τοῦτο ἴαμβον· καί φησιν, ὅτι ἐν τῷ δακτυλικῷ μέτρῳ μετὰ τὸν πρῶτον τροχαῖον, ἴαμβος εὑρίσκεται, καὶ οἱ λοιποὶ· οἷον,



Τὸν δ' ἀπαμειβόμενος προσ- τροχαῖος, καὶ λοιπὸς ἴαμβος, καὶ ἀνάπαιστοι,

έφη πόδας ὠκὺς Ἀχιλλεύς.

Ἴαμβον ἔχει) Τοῦτό φησιν, ὅτι τὸ ἐρέω καὶ τὸ φιλέειν, ἴαμβοι γίνονται κατὰ συνίζησιν τῶν δύο ἓν γινομένων, ἐρῶ, φιλεῖν. ἔστιν, ὡς ἔοικε, Ἰωνικὴ διαίρεσις· ἐπεὶ διὰ τίνα αἰτίαν ἐπὶ μόνων τούτων καθαρῶς ἐχρήσατο τῷ παραδείγματι τοῦ ἀναπαίστου ἐν ἀρχῇ. Ὑποστέλλοιτο ἂν) Ἀντὶ τοῦ ὑποπίπτοι, καθότι τῆς ἀναπαίστου διαλυθείσης μακρᾶς, ὁ προκελευσματικὸς γίνεται. Εἰς τὸν προκελευσματικὸν) Ἐκ γὰρ τῶν πρώτων δύο προκελευσματικῶν γίνεται μία συζυγία ἀναπαιστική, καὶ ἐκ τοῦ ἑξῆς προκελευσματικοῦ, καὶ τοῦ τελείου ποδὸς ὄντος ἀναπαίστου ἡ δευτέρα συζυγία· ὥστε γίνεσθαι αὐτὸ δίμετρον ἀκατάληκτον κατὰ διποδίαν μετρούμενον, ὅπερ ἐστὶν ἔχον τελείους τέσσαρας ἀναπαίστους. εἰκότως δὲ ἐν τοῖς προκελευσματικοῖς λήγοντα ἔταξεν ἀνάπαιστον, ὅτι δάκτυλον μὲν ἴσως ἦν ὁ διαλυθείς, ἢ ἄλλος ἰσόχρονος, οὐχὶ ὁ ἀνάπαιστος. Ἔχον τὸ βακχεῖον) Εὑρήσεται οὖν πρὸς τῷ τέλει ἴαμβος καὶ μία συλλαβή, ἵνα ᾖ καταληκτικὸν εἰς δισύλλαβον· ἐπεὶ καὶ χαίρει τῷ ἰάμβῳ ὁ ἀνάπαιστος, ὡς ἀπὸ βραχείας ἀρχομένῳ· ὥσπερ ὁ δάκτυλος τῷ τροχαίῳ διὰ τὴν μακράν.

## ΠΕΡΙ ΤΟΥ ΧΟΡΙΑΜΒΙΚΟΥ ΜΕΤΡΟΥ.

ΤΟ χοριαμβικὸν συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς ἰαμβικάς· ὡς ἐπίπαν δὲ ὅτε καταληκτικόν ἐστιν εἰς τὴν ἰαμβικὴν κατακλεῖδα περαιοῦται, τουτέστιν εἰς ἀμφίβραχυν, ἢ βακχεῖον διὰ τὴν ἀδιάφορον. περαιοῦται μὲν γὰρ καὶ εἰς τὴν ἰδίαν, τὸν δάκτυλον, ἢ κρητικόν, οἷον, δίμετρον μὲν τό,

Ἰσοπόνοι | μείρακες.   τρίμετρον δέ, οἷον,

Οὐδὲ λέον | των σθένος οὐ | δὲ τροφαί.   τετράμετρον δέ,

Αἰκυθερεί | ας ἐπιπνεῖ | τ' ὀργιαλοῦ | καλένου.

ἀλλὰ τὰ τοιαῦτα συνεχέστερα ἐστίν, εὐπρεπέστερά ἐστι· τὰ δὲ εἰς τὸν ἀμφίβραχυν ἢ βακχεῖον, δίμετρα μὲν τὰ ἐκ Αἰολοσίκωνος Ἀριστοφάνους,

Οὐκ ἔτος ὦ | γυναῖκες

» Πᾶσι καλοῖ|σιν ἡμᾶς

» Φλῶσιν ἑκά|στοτ' ἄνδρες.

» Δεινὰ γὰρ ἔρ|γα δρῶσαι,

» Λαμβανόμε|σθ' ὑπ' αὐτῶν.

τρίμετρα δὲ, οἷον τὸ Ἀνακρέοντος,

» Δακρυόεσ|σαν τ' ἐφίλη|σεν αἰχμάν.

τετράμετρα δὲ, ἃ καὶ συνεχέστερά ἐστιν, οἷα ταυτὶ τὰ Σαπφοῦς,

» Δεῦτε νῦν ἁ|βραὶ χάριτες|καλλίκομοί|τε μοῖσαι.

Ἀνακρέων δὲ ἐπετήδευσε τὴν προτέραν συζυγίαν δι' ὅλου ἄσματος, ἐκ τριβράχεος καὶ ἰάμβου ποιῆσαι, ὡς εἶναι κοινὴν λύσιν, τῆς τε χοριαμβικῆς καὶ τῆς ἰαμβικῆς.

» Ἀναπέτομαι|δὴ πρὸς ὄλυμ|πον πτερύγεσ|σι κούφαις.

πολὺ δέ ἐστι καὶ τὸ πρὸς τῇ καταλήξει τὴν δευτέραν συζυγίαν ἰαμβικὴν ἔχον, οἷόν ἐστι παρὰ μὲν Ἀνακρέοντι,

» Ἐκ ποταμοῦ|'πανέρχομαι

» Πάντα φέρου|σα λαμπρά.

παρὰ δὲ Ἀριστοφάνει ἐν Ἀμφιαράῳ,

» Οἴδαμεν, ὦ|χαῖόν τ' ἰδών.

» Κοὐχὶ λέλη|θ' ἐμαυτόν. καὶ τῷ πενταμέτρῳ δὲ Καλλίμαχος ὅλον ποίημα τὸ βάκχου συνέθηκε,

» Δαίμονες εὐ|υμνότατοι|Φοῖβέ τε καὶ|Ζεῦ διδύμων|γενάρχαι.

Φίλικος δὲ ὁ Κερκυραῖος εἷς ὢν τῆς πλειάδος, ἑξαμέτρῳ συνέ-



θηκεν ὅλον ποίημα.

» Τῇ χθονίῃ|μυστικὰ Δή|μητρί τε καὶ|Φερσεφόνῃ|καὶ Κλυμένῳ τὰ δῶρα. τοῦτο δὲ καὶ ἀλαζονεύεται εὑρηκέναι Φίλικος λέγων,

» Καινογράφης|συνθέσεως|τῆς Φιλίκου|γραμματικοὶ|δῶρα φέρω|πρὸς ἡμᾶς. ψεύδεται δέ. πρὸ γὰρ αὐτοῦ Σιμμίας ὁ Ῥόδιος ἐχρήσατο ἐν τῷ πελέκει.

» Ἀνδροθέᾳ|δῶρον ὁ φω|κεὺς κρατερᾶς|μηδοσύνας|ἦρα τίνων|Ἀθάνᾳ. κἀν ταῖς πτέρυξι,

» Λεύσσετέ με|τὰν γᾶς τε βαθυ|στέρνου ἄνα|κτ' ἀκμονίδαν|τ' ἄλλυδις ἑ|δράσασαν. πλὴν εἰ μὴ ἄρα ὁ Φίλικος, οὐχ ὡς πρῶτος εὑρηκὼς τὸ μέτρον λέγει, ἀλλ' ὡς πρῶτος τούτῳ τῷ μέτρῳ τὰ ὅλα ποιήματα γράψας.

Τὸ χοριαμβικὸν) Δέχεται τὸν χορίαμβον καὶ τὰς ἰαμβικὰς συζυγίας· ὅτε δὲ καταληκτικόν ἐστι, τότε τὸν τελευταῖον, βακχεῖον, ἢ ἀμφίβραχυν, ἢ δάκτυλον, ἢ κρητικὸν τὸν καὶ ἀμφίμακρον, συνεχέστερον. γίνεται δὲ καὶ διαλυομένης τῆς πρώτης μακρᾶς, εἰς δύο βραχείας, πενταδάκτυλος, ἐκ χορείου καὶ ἰάμβου· ὅθεν ἴσως καὶ χοριαμβικὸν ἐκλήθη. μὴ διαλελυμένης γὰρ τῆς πρώτης μακρᾶς, ἔδει μᾶλλον τροχαϊκὸν καλεῖσθαι. ἐπεὶ δὲ διαλύεται ἡ πρώτη μακρὰ, χοριαμβικὸν κέκληται. ὁ γὰρ χορίαμβος, ἐκ τροχαίου καὶ ἰάμβου σύγκειται, ἤγουν μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς. Ἐπίμικτον) Ἐπίμικτα καλεῖ, τὰ ἔχοντα ἐπιμίκτους συζυγίας· ἐπίμικτα δὲ καθὸ καθ' ἑαυτὸν μικτὸς ὁ χορίαμβος, ὡς καὶ οἱ ἄλλοι τετρασύλλαβοι, ἐκ δύο ποδῶν ἁπλῶν ὄντες. εἰ οὖν καθ' αὑτὸν μικτὸς, ἄλλο προσλαβὼν, ἐπίμικτος ἔσται. Ἰσοπόνοι) Τὸ Ἰσοπόνοι μείρακες, χοριαμβικὸν δίμετρόν ἐστι· μετρεῖται δὲ κατὰ διποδίαν καὶ τοῦτο, δηλαδὴ τὸ χοριαμβικόν. μόνον γὰρ τὸ δακτυλικὸν βαίνει κατὰ μονοποδίαν. ἐπεὶ οὖν οἱ τετρασύλλαβοι πόδες οὐκ εἰσὶν ἁπλοῖ, ἀλλὰ διπλοῖ, ὥσπερ καὶ ὁ χορίαμβος· διπλοῦς γάρ ἐστιν ἐκ τροχαίου καὶ ἰάμβου· οὐ δύνανται κατὰ μονοποδίαν μετρεῖσθαι ὡς τὸ δακτυλικὸν καὶ τούτου ἕνεκεν, φαίημεν ἂν εἶναι τὸ παρὸν χοριαμβικὸν, τὸ Ἰσοπόνοι μείρακες, δίμετρον καταληκτικὸν, ἐκ τροχαίου καὶ ἰάμβου, καὶ αὖθις τροχαίου καὶ

βραχείας συλλαβῆς περιττῆς. οὕτω μὲν οὖν ὅταν ὡς ἁπλοῖς αὐτοῖς θεωρῶμεν. ἐπεὶ ἔν γε τῇ συνθέσει, ἄλλως ἔχει τὰ καὶ αὐτοῖς. αὐτίκα γὰρ τὸ, Ἰσοπόνοι μείρακες, ἔστι χοριαμβος ὁ πρῶτος ποὺς· ὁ δὲ τελευταῖος περαιοῦται εἰς δάκτυλον. ἡ γὰρ τελευταία ἀδιάφορος οὖσα, ἅμα τῷ ἰάμβῳ βακχεῖον ποιεῖ, ὅτε μακρά ἐστιν· ἢ ἀμφίβραχυν, ὅτε βραχεῖά ἐστιν, εἰς τὴν χοριαμβικὴν κατακλεῖδα. ὁ γὰρ δάκτυλος περὶ τὴν τελευταίαν μακρὰν, χορίαμβος ἐστίν· οἷον ἐστι κἀνταῦθα τὸ μείρακες. Οὐδὲ λεόντων) Τὸ οὐδὲ λεόντων σθένος, οὐδὲ στροφαὶ, ἀμφίμακρός ἐστιν ἀντὶ δακτύλου δηλονότι. Λευκολένου) Ὁμοίως καὶ τὸ λευκολένου, ἀμφίμακρον ἀντὶ δακτύλου. εἰς γὰρ δάκτυλον γίνεται ἡ κατακλεὶς, τῶν πρώτων, χοριάμβων ὄντων. Γυναῖκες) Πρῶτος, χορίαμβος· καὶ ὁ τελευταῖος, ἴαμβος, ἐνδέων μιᾷ συλλαβῇ τῇ μακρᾷ δηλονότι, τοῦτ' ἔστιν οὕτως ὡς ἔχει, ἀμφίβραχυς. Τρίμετρα δὲ) Τὰ τρίμετρα, δύο ἔχουσι χοριάμβους, καὶ ἕνα ἴαμβον, καὶ συλλαβήν· τὰ δὲ τετράμετρα, τρεῖς χοριάμβους καὶ ἕνα ἴαμβον, καὶ συλλαβήν· τρίμετρον χοριαμβικὸν, Δακρυόεσσάν τ' ἐφίλησεν αἰχμάν· τετράμετρον, Δεῦτέ νυν ἁβραὶ χάριτες, καλλίκομοί τε μοῖσαι. Ἀναπέτομαι) Ἡ γὰρ ἐκ τοῦ τριβράχεος καὶ τοῦ ἰάμβου συζυγία, ⏑⏑⏑ ⏑ – λύσις ἐστὶν ἰαμβικῆς τε συζυγίας, καὶ χοριαμβικῆς· ἰαμβικῆς μὲν, τοῦ πρώτου ποδὸς, κατὰ τὴν δευτέραν συλλαβὴν, λέγω τὴν μακρὰν, διαλυομένου εἰς δύο βραχείας· χοριαμβικῆς δὲ τῆς πρώτης μακρᾶς, διαλυομένης εἰς δύο βραχείας, καὶ τῆς ἑξῆς οὔσης βραχείας. γίνεται οὖν τῆς ἀναπέτομαι λέξεως τὸ πέτομαι, τρίβραχυς, τῆς μαι συλλαβῆς τοῦ ἰαμβικοῦ, διαλυομένης εἰς δύο βραχείας. καὶ πάλιν ἐκ τοῦ δὴ πρὸς ὄλυμπον τοῦ χοριάμβου, διαλύεται ἡ δὴ μακρὰ, καὶ γίνεται ἕτερος τρίβραχυς. καὶ μένει τὸ ὄλυμπον, ἰαμβικόν.

Ἀναπέτομαι, δὴ πρὸς ὄλυμπον, πτερύγεσσι κούφαις.

Ἀναπέτομαι δὴ πρὸς ὄλυμπον πτερύγεσσι κούφαις.

Εἷς ὢν τῆς πλειάδος) Ἑπτὰ γὰρ λέγονται εἶναι ῥαγῳδοί· διὸ καὶ πλειὰς ὠνομάσθησαν· ὧν εἷς ἐστὶν οὗτος ὁ Φίλικος, ἐπὶ Πτολεμαίου δὲ γεγόνασιν οὗτοι, ἄριστοι τραγικοί· εἰσὶ δὲ οὗτοι, Ὅμηρος νεώτερος, Σωσίθεος, Λυκόφρων, Ἀλέξανδρος, Φίλικος, Διονυσιάδης, Αἰαντιάδης. Ἐν τῷ πελέκει) Σύγγραμμα ὁ Πέλεκυς. ἐπεὶ κατὰ μίμησιν πελέκυος συντέθειται. μακρὸν γὰρ ἑκατέρωθεν τέθηκεν· ἔστι δὲ, καὶ σφαῖρα, καὶ θρόνος, σύγγραμμα καλούμενον.

## ΠΕΡΙ ΤΟΥ ΑΝΤΙΣΠΑΣΤΙΚΟΥ ΜΕΤΡΟΥ.

ΤΟ ἀντισπαστικὸν, τὴν μὲν πρώτην συζυγίαν ἔχει τετραμμένην, κατὰ τὸν πρότερον πόδα, εἰς τέσσαρα τοῦ δισυλλάβου σχήματα· τὰς δ' ἐν μέσῳ, καθαρὰς ἀντισπαστικάς· τὴν δὲ τελευταίαν ὁπότε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν· ἐὰν δέ που ἀναμίσγηται



ταῖς ἰαμβικαῖς, οὐ μόνον τὴν πρώτην συζυγίαν ἔχει τετραμμένην κατὰ τὸν πρότερον πόδα, ἀλλὰ καὶ τὰς τῶν ἰαμβικῶν ἑπομένως. ἔστι δ' ὅτε καὶ λύεται ὁ πρότερος ποὺς εἰς τρίβραχυν. καὶ ἔστιν ἐπίσημα ἐν αὐτῷ τάδε· πενθημιμερὲς μὲν, τὸ καλούμενον δοχμαϊκόν·

Κλῦθί μοι γέ|τε,

Τὸ ἐγχώρι|ον.

ἑφθημιμερὲς δὲ, τὸ καλούμενον Φερεκράτειον·

Ἄνδρες πρόσχε|τε τὸν|νοῦν

Ἐξευρήμα|τι και|νῷ,

Συμπτύκτοις ἀ|ναπαί|στοις.

δίμετρον δὲ ἀκατάληκτον, τὸ καλούμενον Γλυκώνειον, αὐτοῦ Γλύκωνος εὑρόντος αὐτό.

Κάπρος ἡνί|χ' ὁ μαινόλης,

Ὀδόντι σκυ|λακοκτόνῳ.

Κύπριδος θά|λος ὤλεσε.

δίμετρον δὲ ὑπερκατάληκτον, τὸ καλούμενον Σαπφικὸν, ἐννεασύλλαβον, ἢ ἱππωνάκτειον· οἷον,

Καὶ κνίσῃ τι|να θυμιή|σας.

Τῶν δὲ τριμέτρων, τὸ μὲν καταληκτικὸν, τὸ μόνην τὴν πρώτην ἀντισπαστικὴν ἔχον, τὰς δὲ ἑξῆς ἄλλας ἰαμβικὰς, καλεῖται Φαλαίκειον· οἷον,

Χαῖρ' ὦ χρυσό|κερως|βαβά|κτα κάλ|λων·

Πᾶν πελασγι|κὸν Ἄργος ἐμ|βατεύ|ων.

τὸ δὲ ἀκατάληκτον, τὸ μόνην τὴν τελευταίαν ἔχον ἰαμβικήν, καλεῖται ἀσκληπιάδειον, οἷον τὸ Ἀλκαίου,

» Ἦλθες ἐκ πε|ράτων γᾶς, ἐ|λεφαντίναν

» Λάβαν τὰ ξί|φεος χρυσο|δέταν ἔχων.

τὸ δὲ μέσην μὲν ἔχον τὴν ἀντισπαστικήν, τρεπομένην κατὰ τὸν ἕτερον πόδα εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα, ἑκατέρωθεν δὲ τὰς ἰαμβικάς, ὧν ἡ προτέρα καὶ ἀπὸ σπονδείου ἄρχεται, ἀλκμαϊκὸν καλεῖται δωδεκασύλλαβον· οἷον,

» Κόλπῳ σ' ἐδέ|ξαντο ἁγναὶ Χά|ριτες Κρόνῳ.

τῶν δὲ τετραμέτρων, τὸ μὲν καταληκτικὸν καθαρόν, ἐστὶ τὸ τοιοῦτον·

» Κατθνάσκει | Κυθέρη' ἅβρος | Ἄδωνις· τί | κε θεῖμεν.

» Καττύπτεσθε | κόραι καὶ κα|τερύκεσθε | χιτῶ|νας.

τὸ δὲ τὴν δευτέραν ἰαμβικὴν ἔχον, καλεῖται πριάπειον· οἷον,

» Ἠρίστησα | μὲν ἰτρίου | λεπτοῦ μικρὸν | ἀπο|κλάς·

» Οἴνου δ' ἐξέ|πιον κάδον· | νῦν δ' ἁβρῶς, ἐ|ρόεσ|σαν

» Ψάλλω πηκτί|δα τῇ φίλῃ, | κωμάζων παι|δὶ ἁβρῇ.

πολυσχημάτιστον μὲν οὖν αὐτὸ ποιοῦσιν· ἀλλά γε καθαρῶς ἐσχηματισμένον ἐστὶ τοιοῦτον. ἔστι δὲ πυκνόν, καὶ τὸ τὴν δευτέραν μόνην ἀντισπαστικὴν ἔχον· ᾧ μέτρῳ ἔγραψεν ᾄσματα καὶ Σαπφώ, ἐπὶ τῆς τοῦ ἑβδόμου.

» Γλυκεῖα μᾶ|τερ οὔτοι δύ|ναμαι κρέκειν | τὸν ἱ|στόν

» Πόθῳ δάμεῖ|σα παιδὸς, βρα|δινὰν δι' Ἀ|φροδί|ταν.

τὸ δὲ ἀκατάληκτον, καλεῖται σαπφικὸν ἑκκαιδεκασύλλαβον· ᾧ



τὸ τρίτον ὅλον Σαπφοῦς γέγραπται· πολλὰ δὲ καὶ Ἀλκαίου ᾄσματα.

» Νύμφαις ταῖς Διὸς ἐξ αἰγί|οχω φασὶ | τετυ|γμέναις.

Σιμμίας δὲ καὶ τῷ ὑπερκαταλήκτῳ κέχρηται.

» Τὸν συγνὸν Με|λανίππου φό|νον, αἱ πατρὸς | φόνων ἔρι|θοι.

ὅπερ καλεῖται σιμμιακόν. ὁ δὲ Ἀλκαῖος καὶ πενταμέτρῳ ἀκαταλήκτῳ ἐχρήσατο.

» Κρονίδα βα|σιλῆος γέ|νος Αἴαν, τὸν | ἄρειστον πέ|δ' Ἀχιλλέα.

Τὸ ἀντισπαστικὸν) Τὸ ἀντισπαστικὸν δέχεται τὸν πρῶτον πόδα ἀντίσπαστον υ--υ ἢ ἐπίτριτον δ, ---υ ἢ παίονα β, ἢ διτρόχαιον· τὰς δὲ μέσας, ἀντισπαστικὰς ἰαμβικάς, τὴν δὲ τελευταίαν ὅτε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν· ὅτε δὲ καταληκτικόν, τὴν τῆς ἰαμβικῆς ἑπομένην συζυγίαν, τρεπομένην κατὰ τὸν πρῶτον πόδα, εἰς τέσσαρα τοῦ δισυλλάβου σχήματα. Ἐὰν δέ που) Τοῦτο φησίν, ὅτι ἐὰν ἀναμίσγηται ταῖς ἰαμβικαῖς ὁ ἀντίσπαστος, οὐ μόνον ἔχει τὴν πρώτην συζυγίαν τρεπομένην κατὰ τὸν πρότερον πόδα εἰς τοὺς τέσσαρας πόδας τοὺς δισυλλάβους, ἀλλὰ καὶ μετὰ τὴν ἰαμβικὴν συζυγίαν, εἴθε ὁ ἀντίσπαστος· καὶ πάλιν ὁ πρῶτος αὐτοῦ πούς τρέπεται εἰς τοὺς τέσσαρας τοὺς δισυλλάβους. ἔστι γὰρ ἡ πρώτη διποδία ἀντίσπαστος, ἡ δευτέρα ἰαμβική, καὶ ἡ τρίτη πάλιν ἀντίσπαστος· καὶ τρέπεται κατὰ τὸν πρότερον πόδα, υ--υ, υ-υ-, υ--υ, τοῦτο κατὰ πόδα συμβαίνει. δύο γάρ εἰσι· κῶλα δέ, ποδῶν ἁπλῶν δύο, καὶ συλλαβῆς. Ἄνδρες) Ἐκ Κρατίνου, ὡς κατὰ ἁπλοῦν δὲ πόδα βαῖνον, ἐφθημιμερὲς εἴρηται. ἔστι δὲ ποδῶν ἁπλῶν τριῶν, καὶ συλλαβῆς. ἔστι δὲ ὁ πρῶτος πούς, τέταρτος ἐπίτριτος, ἐκ τριῶν μακρῶν, καὶ βραχείας, ἤτοι ἀντίσπαστος· εἶτα ἴαμβος καὶ συλλαβή. Καὶ κνίσση.) Μετὰ διποδίαν, συλλαβὴ ἐπὶ τῶν ὑπερκαταλήκτων εὑρίσκεται. εἰσὶν οὖν δύο ἀντίσπαστοι, καὶ συλλαβή. Χαῖρ' ὦ) Ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται φαλαίκειον. δέχεται δὲ ἕνα ἀντίσπαστον, ἤτοι τέταρτον ἐπίτριτον, καὶ τρεῖς ἰάμβους, καὶ συλλαβήν. Χαῖρ' ὦ χρυσόκερως· καὶ τὰ ἑξῆς. Ἦλθες) Ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται ἀσκληπιάδειον· ἔστι δὲ ποδῶν ἁπλῶν ἕξ, τὴν τελευταίαν μόνην ἔχον ἰαμβικήν, τὴν ἴναν. πρὸς τὸ ἄνω δέ τό, τὸ μὲν καταληκτικόν· τὸ δὲ ἀκατάληκτον, ἐπήγαγε τὸ ἀσκληπιάδειον, ἐκ δύο τροχαίων, καὶ ἀντισπάστου, καὶ δύο ἰάμβων τελείων· ἀκατάληκτον γάρ ἐστι. καὶ τὸ ἑξῆς πάλιν, τρίμετρον ἀκατάληκτον, ἐκ δύο ἀντισπάστων καὶ ἐκ δύο ἰάμβων. Κόλπῳ σ') Ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται ἀλκμαϊκόν, δωδεκασύλλαβον, ποδῶν ἁπλῶν ἕξ, τῆς μέσης μόνης ἀντισπαστικῆς οὔσης, ἑκατέρωθεν δὲ ἰαμβικῆς. τὸ σπονδεῖον ἤρξατο τοῦ Κόλπῳ. ἡ μέση δὲ ἀντισπαστική καὶ αὐτὴ ἀδιάφορον ἔχουσα τὸν πρῶτον πόδα. σπονδεῖον γάρ. Κατθνάσκει) Τὸ τετράμετρον καταληκτικόν ἐστιν, ἐκ τριῶν ἀντισπάστων, καὶ ἰάμβου καὶ συλλαβῆς. ἔστι δὲ ποδῶν ἁπλῶν ἑπτὰ καὶ συλλα-

βῆς, τέταρτος ἐπίτριτος, εἷς ἀντίσπαστος, εἶτα ἀντίσπαστος, καὶ ἴαμβος, καὶ συλλαβή· εἶτα πάλιν ἐπὶ τοῦ Οἴνου, τέταρτος ἐπίτριτος, εἷς ἀντίσπαστος, πάλιν ἀντίσπαστος, ἴαμβος καὶ συλλαβή. Γλυκεῖα) Δύο ἴαμβοι, ἀντίσπαστος, τρεῖς ἴαμβοι, συλλαβή, καὶ τὸ ἑξῆς τοιοῦτον.

Νύμφαις) Ποδῶν ἁπλῶν ὀκτώ, τῆς τελευταίας συλλαβῆς ἰαμβικῆς οὔσης. τρεῖς ἀντίσπαστοι, δύο ἴαμβοι. ἀκατάληκτον γάρ. Τὸν συγνόν) Τοῦτο ἀντισπαστικόν ἐστι, τετράμετρον ὑπερκατάληκτον, ὃ καλεῖται σημμίειον, ποδῶν ἁπλῶν ὀκτώ, καὶ συλλαβῆς μιᾶς. ἐπὶ γὰρ τῶν ὑπερκαταλήκτων, τίθεται συλλαβὴ μία. εἰσὶ δὲ ἐν τούτῳ τῷ μέτρῳ τρεῖς ἀντίσπαστοι, καὶ μία συλλαβή. Ἀχιλλέα) Ἐξ ὁλοκλήρου, τὸ Ἀχιλλέα, ἵνα γένηται ἀκατάληκτον. ἐν τισὶ δὲ, τὸ τέλος κατὰ συνίζησιν τὸ ἀχιλλέα, ἵνα γένηται καταληκτικόν. εἰσὶ δὲ ἐν τούτῳ τῷ μέτρῳ, τέσσαρες ἀντίσπαστοι, καὶ ἴαμβος, καὶ συλλαβή, εἰ καταληκτικόν· εἰ δὲ ἀκατάληκτον, δύο ἴαμβοι.

## ΠΕΡΙ ΤΟΥ ΑΠΟ ΜΕΙΖΟΝΟΣ ΙΩΝΙΚΟΥ.

ΤΟ δὲ ἀπὸ μείζονος ἰωνικὸν, συντίθεται μὲν καθαρὸν, συντίθεται δὲ καὶ πρὸς τὰς τροχαϊκὰς ἐπίμικτον. ὅτε μέντοι ἀκατάληκτόν ἐστι καθόλου, συνήθως εἰς τὴν ἰωνικὴν περαιοῦται, διὰ τὸ ἀπρεπὲς εἶναι τὴν ἰωνικὴν ἐπὶ τέλους οὖσαν· ἔστι τοίνυν ἐπίσημα ἐν τῷ ἰωνικῷ, ἑφθημιμερῆ μὲν, τὰ τοιαῦτα, οἷς ἡ Τελέσιλλα ἐχρήσατο.

» Ἁδ' Ἄρτεμις | ὦ κόραι, φεύ | γοισα τὸν Ἀλ | φεόν.

καὶ δίμετρον ἀκατάληκτον, τὸ καλούμενον κλεομάχειον, ἐν ᾧ καὶ οἱ μολοσσοὶ ἐπὶ τῶν ἀρτίων χωρῶν ἐμπίπτουσι, καὶ οἱ χορίαμβοι.

» Τίς τὴν ὕδρι | ἰω ὑμῶν | ἐξόφησ' ἐ | γὼ πίνων.

καὶ τρίμετρα βραχυκατάληκτα, τὰ καλούμενα πραξίλλεια. ἃ τὴν μὲν πρώτην ἔχει ἰωνικὴν, τὴν δὲ δευτέραν τροχαϊκήν· οἷά ἐστι τὰ τοιαῦτα Σαπφοῦς·

» Πλήρης μὲν ἐ | φαίνετ' ἁ σε | λάνα·

» Αἱ δ' ὡς περὶ | βωμὸν ἐστά | θησαν.



τὰ δὲ τρίμετρα ἀκατάληκτα, διχῶς συνέθεσαν οἱ αἰολεῖς. τὰ μὲν γὰρ, ἐκ δύο ἰωνικῶν καὶ τροχαϊκῆς ἐποίησαν βάσεως· οἷον,

» Κρῆσσαι νύ πο | θ' ὧδ' ἐμμελέ | ως πόδεσσιν

» Ὠρχεῦντ' ἁπα | λοῖς, ἀμφ' ἐρό | εντα βωμόν.

ἔνια δὲ ἐκ μιᾶς ἰωνικῆς καὶ δύο τροχαϊκῶν· οἷον,

» Τειδωλέτερ' | οὐ γὰρ ἀρκά | σεαι λώβα.

Τῶν δὲ τετραμέτρων, ἐπισημότατόν ἐστι βραχυκατάληκτον, τὸ καλούμενον σωτάδειον· τοῦτο δὲ κατὰ τὰς τρεῖς χώρας δέχεται ἰωνικὴν συζυγίαν, ἢ τροχαϊκὴν, ἢ τὴν ἐξ ἀναπαίστου καὶ πυρριχίου, ἢ τὴν ἐκ τριβράχεος καὶ τροχαίου, ἢ τὴν ἐκ μακρᾶς καὶ τεσσάρων βραχειῶν, ἢ τὴν ἐξ ἓξ βραχειῶν.

» Ἥρην ποτέ | φασὶ, Δία | τὸν τερπικέ | ραυνον.

καὶ τετράμετρα δὲ ἀκατάληκτα, διαφόρως συνέθεσαν. καὶ γὰρ τρισὶν ἰωνικαῖς μίαν τροχαϊκὴν τὴν τελευταίαν ἐπήγαγον· καλεῖται δὲ αἰολικὸν, ὅτι Σαπφὼ πολλῷ αὐτῷ ἐχρήσατο· οἷον,

» Εὐμορφοτέ | ρα Μνασιδί | κα τᾶς ἀπα | λᾶς Γυρίνω

» Ἀσαροτέ | ρας, οὐδ' ἁμᾶ | πώρανα σέ | θεν, τύχοισαν.

παρατηρεῖν δὲ χρὴ, ὅτι τὴν πρώτην συζυγίαν, καὶ ἀπὸ βραχείας ἀρχομένην ποιοῦσιν, ὥσπερ καὶ ἐν τοῖς τριμέτροις.

» Πόας τέρεν | ἄνθος μάλα | κόν, μάτεισαι.

ἐνίοτε δὲ ἐναλλάξ, ταῖς ἰωνικαῖς τὰς τροχαϊκὰς παραλαμβάνουσιν, ἀντὶ μὲν τῶν ἰωνικῶν, ἔσθ' ὅτε τὰς δευτέρας παιωνικὰς παραλαμβάνοντες· ἀντὶ δὲ τῶν ἑξασήμων τροχαϊκῶν, ἔσθ' ὅτε τὰς ἑπτασήμους τροχαϊκάς.

Δέδυκε μὲν | ἁ σελάνα,

Καὶ πληϊάδες, | μέσαι δὲ

Νύκτες· παρὰ δ' | ἔρχεθ' ὥρα·

Ἐγὼ δὲ μό | να καθεύδω.

Ἑφθημιμερὴ μὲν) Τὸ ἰωνικὸν ἑφθημιμερὲς τρεῖς ἔχει πόδας καὶ συλλαβήν· καὶ ἐν τούτῳ ἡ πρώτη ἀδιάφορος· ἡ δὲ καταληκτική, τροχαϊκή. Οἱ μολοσσοὶ) Εἰκότως δὲ ἐπὶ τῶν ᾀσμάτων οἱ μολοσσοί. εἰ γὰρ μολοσσοῦ τιθεμένου κατ' ἀρχάς, καὶ τοῦ ἰωνικοῦ μετ' αὐτόν, εὑρίσκοντο πέντε μακραὶ ἐφεξῆς, καὶ ἀρρυθμία πολλὴ ἐγίνετο τοῦ μέτρου, ὃ ἐπιφέρει, ὁ πρῶτος, ἰωνικός, καὶ μολοσσός, εἶτα διτρόχαιος, καὶ πάλιν μολοσσός. τὸ γάρ, ἰὼ ἡμῶν, καὶ τό, γὼ πίνων, μολοττοὶ αὐτὶ ὁλοκλήρων ἰωνικῶν εἰσίν. ἡ γὰρ τελευταία μακρὰ διαιρουμένη εἰς δύο βραχείας, ποιεῖ τὸν ἰωνικὸν ἀπὸ μείζονος· ἐπεὶ καὶ τῶν ἐπὶ τέλους δύο βραχειῶν συναιρεθεισῶν, ὁ μολοττὸς γίνεται. ἔστιν οὖν τὸ μέτρον, δίμετρον ἀκατάληκτον, τὸ καλούμενον κλεομάχιον. τὸ δὲ ἐψόφησε, διτρόχαιος. εἴπερ γὰρ ἐπιμίγνυσθαι πρὸς τὰς τροχαϊκάς. τὸ αὐτὸ πλῆρες ἐψόφησεν· εἶτα ἀμοιβαῖον, ἐγὼ πίνων. κατὰ πεῦσιν καὶ ἀπόκρισιν. Πλήρης) Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ὃ καλεῖται πραξίλλειον· βραχυκατάληκτον δέ, διότι δύο συλλαβαῖς ἐνδεῖ πρὸς τὸ τέλειον τρίμετρον ἰωνικόν. Ἀναπαίστου) Διότι λυομένων τῶν ἄκρων τοῦ ἰωνικοῦ, γίνεται ἀνάπαιστος, ἐκ δύο βραχειῶν καὶ μακρᾶς, καὶ πυρρίχιος ἐκ δύο βραχειῶν· τοῦ δὲ τροχαϊκοῦ λυομένου, γίνεται ὁ τρίβραχυς. συγγενὴς οὖν ὁ τροχαῖος τῷ ἰωνικῷ. τῶν γὰρ δύο μακρῶν τῶν ἄκρων, λυθεισῶν εἰς τέσσαρας βραχείας, καὶ τῶν δύο βραχειῶν μενουσῶν, ἓξ γίνονται αἱ πᾶσαι· αἱ δὲ ἓξ βραχεῖαι, ἄδηλον, εἴτε τοῦ ἰωνικοῦ λυθέντος, εἴτε τοῦ τροχαϊκοῦ, γεγόνασιν. Ἥρω) Ἰωνικὸν τετράμετρον βραχυκατάληκτον, ὃ καλεῖται σωτάδειον, ἐκ τριῶν ἰωνικῶν, καὶ ἑνὸς τροχαίου· ἐνδεῖ δὲ δύο συλλαβαῖς, εἰς τὸ ἰωνικὸν εἶναι ἀκατάληκτον. Ἀστεροπέρας) Τὸ ἀστεροπέρας, δεύτερος παίων. συστέλλουσι γὰρ οἱ αἰολεῖς, τὸ α, ὡς ἐν τῷ Μήμε ἄσαις, ἀμηδονίαισιν. Πόας) Ἰωνικοῦ γὰρ ὄντι, ἡ πρώτη, βραχεῖα ἀπελείφθη, ἢ πο. ἔχει δὲ ἰωνικὴν διποδίαν, εἶτα τροχαϊκήν. Παραλαμβάνουσι) Τουτέστι τὴν πρώτην μακρὰν τοῦ ἰωνικοῦ βραχύνοντες, τὴν τοῦ τελευταίου ποδὸς βραχεῖαν μηκύναντες ὅ ἐστι, σπονδεῖον τὸν δεύτερον ἁπλοῦν πόδα ποιήσαντες, ὡς ἔθος τῷ τροχαίῳ. Παραλαμβάνοντες) Ὅπου μὲν ἐξ ἰαμβικοῦ ἀπὸ βραχείας ἀρχομένου, ὅπερ ἐστι, παιωνικοῦ δευτέρου, καὶ τροχαϊκοῦ ἑπτασήμου, ἤτοι ἐπιτρίτου β, ὡς τὸ πρῶτον. Δέδυκε μὲν ἁ σελάνα. ὅπου ὡς προείρηται, ἐξ ἰωνικῶν καθαρῶν, καὶ τροχαϊκῶν. τὸ οὖν ἁ σελάνα, ἑπτάσημός ἐστι τροχαϊκή. τροχαῖος γάρ ἐστι καὶ σπονδεῖος. μακρὸν γάρ ἐστι καὶ τὸ τελευταῖον α. ἔστιν οὖν τό, ἁ σελάνα, ἐπίτριτος δεύτερος, τῆς α τελευταίας ἀντὶ μακρᾶς παραλαμβανομένης.



# ΠΕΡΙ ΤΟΥ ΑΠ' ΕΛΑΣΣΟΝΟΣ ΙΩΝΙΚΟΥ.

ΤΟ δὲ ἀπ' ἐλάσσονος ἰωνικόν, συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς τροχαϊκὰς διποδίας οὕτως, ὥστε τὴν πρὸ τῆς τροχαϊκῆς, ἀεὶ γίνεσθαι πεντάσημον, τοῦτ' ἔστι, τρίτην παιωνικήν, καὶ τὴν τροχαϊκήν, ὁπότε μὲν προτάττοιτο τῆς ἰωνικῆς, γίνεσθαι ἑπτάσημον τροχαϊκήν, τὸ καλούμενον δεύτερον ἐπίτριτον· ἔσθ' ὅτε δέ, ἡ μὲν τρίτη παιωνικὴ συναιρεῖται εἰς παλιμβάκχειον· τῆς δὲ ἐπιφερομένης τροχαϊκῆς ὁ πρότερος λύεται εἰς τρίβραχυν. ἐμπίπτουσι δὲ καὶ οἱ μολοττοί, ἐπὶ τῶν περιττῶν χωρῶν, ἐν τοῖς ἀπ' ἐλάσσονος ἰωνικοῖς· ὥσπερ ἐν τοῖς ἀπὸ μείζονος, ἐπὶ τῶν ἀρτίων. καὶ ὅλα μὲν οὖν ᾄσματα γέγραπται ἰωνικά, ὥσπερ Ἀλκμᾶνι·

Ἑκατὸν μὲν | Διὸς υἱόν,

Τὰ δὲ μῶσαι | κροκόπεπλοι. Σαπφοῖ δέ,

Τί με Πανδι | ονὶς, ὠρά | να χελιδών,

Ἀλκαίῳ δὲ πολλά, ὥσπερ καὶ τόδε,

Ἐμὲ δείλαν | ἐμὲ πασᾶν | κακοτάτων | πεδέχοισαν.

Τῶν δὲ ἐν τῷ μέτρῳ μεγεθῶν, τὸ μὲν ἐπισημότατόν ἐστι τὸ τετράμετρον καταληκτικόν· οἷόν ἐστι τὸ Φρυνίχου τοῦ τραγικοῦ τουτί,

Τὸ γεμίζω, ξεῖ | νια δούσαις | λόγος, ὥσπερ | λέγεται,

Ὀλέσαι καὶ | ποτέ μιν ὁ | ξέϊ χαλκῷ | κεφαλάν.

καὶ παρὰ Φρυνίχῳ τῷ κωμικῷ·

Ἀσιάδ' ἀνάγκας | τοῖς ἱεροῦσιν, | καθαροῦμεν | φρασόμεν.

Τοῦτο μέντοι καὶ γαλλιαμβικὸν, καὶ μητρωακὸν, καὶ ἀνακλώμενον καλεῖται. ὕστερον δὲ ἀνακλώμενον ἐκλήθη· διὸ δὴ, πολλὰ τοὺς νεωτέρους εἰς τὴν μητέρα τῶν θεῶν γράψαι τούτῳ τῷ μέτρῳ· ἐν οἷς καὶ τὰς τοὺς τρίτους παίωνας ἔχοντα, καὶ παλιμβάκχειον καὶ τὰς τροχαϊκὰς ἀδιαφόρως παραλαμβάνουσι πρὸς τὰ καθαρά, ὡς καὶ τὰ πολυθρύλλητα ταῦτα παραδείγματα δηλοῖ·

» Γαλλαὶ μη|τρὸς ὀρείης | φιλόθυρσοι | δρομάδες,

» Αἷς ἔντεα | παταγεῖται | καὶ χάλκεα | κρόταλα.

καὶ τῷ βραχυκαταληκτῷ δὲ Ἀνακρέων ὅλα ᾄσματα συνέθηκε.

» Μεγάλῳ δ' ἦυ|τέ μ' ἔρως ἔ|κοψεν ὥστε | χαλκεὺς,

» Πελέκει, χει|μερίῃ δ' ἔ|λουσεν ἐν χα|ράδρῃ.

τῶν δὲ τριμέτρων, τὸ μὲν ἀκατάληκτον,

» Προσεδέξα | μὴν ὄναρ, κυ | προγένεια,

παρὰ τῇ Σαπφοῖ· παρὰ δὲ τῷ Ἀνακρέοντι, ἑτέρως ἐσχημάτισται·

» Ἀπὸ μοι θα|νεῖν γένοιτ'· οὐ | γὰρ ἂν ἄλλη.

» Λύσις ἐκ πό|νων γένοιτ', οὐ|δ' ἀμὰ τῶνδε.

τὸ δὲ καταληκτικόν·

» Διονύσου | σαῦλαι Βασσα|ρίδες.

τὸ δὲ ἀκατάληκτον κατὰ τὸν ἀνακλώμενον χαρακτῆρα, πολὺ παρὰ τῷ Ἀνακρέοντί ἐστι,

» Παρὰ δ' ἦυτε· |πυθόμαν δὲ|κατέδων ἔ|ρωτα φθόγγων.

τῷ δὲ καθαρῷ ἐφθημιμερεῖ ὅλον ᾆσμα Τιμοκρέων συνέθηκε σικελὸς, κομψὸς ἀνήρ·

» Ποτὶ τὴν μα|τέρ' ἔφα.

Δεύτερον



Δεύτερον) Τουτέστι τρίτον παίωνα. γίνεται δὲ παλιμβάκχειος, τῶν προτέρων δύο βραχειῶν εἰς μακρὰν συναγομένων· ὥστε γίνεσθαι ἐκ δύο μακρῶν καὶ βραχείας· τοῦ δὲ ἰωνικοῦ τῶν προτέρων δύο βραχειῶν εἰς μακρὰν συναγομένων, γίνεται ὁ μολοττός. Τὸ γὲ μὴν) Ἐκ τεσσάρων ἰωνικῶν· ἐνδεῖ δὲ συλλαβὴ, διὰ τὸ καταληκτικόν. τοιοῦτον καὶ τὸ μετ' αὐτὸ, καὶ τὸ ἕτερον· τὸ δὲ, ἃ δ' ἀνάγ. οὐδέτερόν ἐστιν ἄρθρον, ἐν συστολῇ τὸ α ἔχον, ἀντὶ τοῦ ἅ τινα. Ἀνακλώμενον) Τὰ εἰρημένα ἀνακλώμενα οὐκ εἰσίν. οὔτε γὰρ ἡ ἐσχάτη τοῦ ἰωνικοῦ μακρὰ οὖσα γέγονε βραχεῖα, οὔτε δὲ τροχαϊκὴν ἔχουσιν, ἀλλὰ καθαρά εἰσιν. ἴσως δὲ περὶ τῶν ἑξῆς ὁ λόγος. γαλλιαμβικὸν δὲ ἐκλήθη, ἐπεὶ λελυμένον ἐστὶ τὸ μέτρον· οἱ δὲ γάλλοι διαβάλλονται, ὡς θήλειαν νόσον ἔχοντες· διὸ καὶ σώματα, φόρον ἐτέλουν ῥωμαίοις εἰς τοῦτο· οἱ τοιοῦτοι δὲ, ἱερεῖς εἰσὶ Δήμητρος. Γαλλαὶ) Ὁ πρῶτος, μολοττός ἐστιν. εἶπε γὰρ, ὅτι δέχεται μολοττὸν ἐν ταῖς περιτταῖς. αἱ δὲ ἑξῆς ἰωνικαί· δηλονότι ἐπιμιγνύουσι τὰ προειρημένα τοῖς καθαροῖς· ἰδοὺ γὰρ τῶν ἄλλων καθαρῶν ὄντων, τὸ μὲν πρῶτον ἔχει τὸν πρῶτον, μολοττόν· περιττὴ γὰρ ἡ χώρα· τὰς δὲ ἑξῆς, ἰωνικὰς καθαράς· τὸ δὲ δεύτερον, ὁμοίως τῷ πρώτῳ, μολοττὸν, κατὰ συνίζησιν τῶν δύο βραχειῶν, τῶν μετὰ τὰς δύο μακρὰς, εἰς μίαν λαμβανομένων· αἷς ἔντεα· αἷς ἔντη, ὁμοίως καὶ ἐν τῷ, χάλκεα χαλκῆ. ἀνακλώμενον δὲ καλεῖται τὸ μέτρον, διὰ τὴν ποιὰν τοῦ μέτρου συμπάθειαν· ἡ γὰρ τελευταία τῶν προτέρων ποδῶν, ἀνακλᾶται τῇ ἀρχῇ τῶν δευτέρων, διὰ τὸ ἐν ὀρχήσει ἀνακλασμὸν μελῶν γίνεσθαι. Μεγάλῳ) Ταῦτα μὲν ἐξ ἐπιμιξίας εἰσὶν ἀνακλώμενα βραχυκατάληκτα. ἔχουσι γὰρ τὴν ἐσχάτην τοῦ ἰωνικοῦ βραχεῖαν, ἀντὶ μακρᾶς. εἴρηται δὲ κατ' ἀρχὴν, ὅτι ὅταν ἐπιμίσγηται τῇ τροχαϊκῇ, πάντως ἡ πρὸ αὐτῆς, ἔσται πεντάσημος, ὅ ἐστι παιωνικὴ, ὡς ἡ, κόψεν ὥστε, τροχαϊκὴ συζυγία οὖσα, ἔχει τὴν πρὸ αὐτῆς τὴν, τέ μ' ἔρως ἔ, παιωνικήν· τὸ δὲ ἑξῆς τὸ, προσελεξάμαν, δύναται καὶ ἀνακλώμενον εἶναι, δύναται καὶ ἐπίμικτον, πρὸς τὰς τροχαϊκὰς, τῆς παιωνικῆς προκειμένης, ὁμοίως τοῖς προλεχθεῖσιν. ἔστι γὰρ ἡ μὲν πρώτη συζυγία, προσέλεξα, παίων τρίτος· ἡ δὲ δευτέρα, μαν ὄναρ κυ, μακρᾶς λυομένης, διὰ τὸ ἐπιφέρεσθαι τὸ προ, ἐστὶ τροχαϊκὴ ἑπτάσημος, τῆς πρώτης μακρᾶς ἀνακλωμένης ἐπὶ τὴν τελευταίαν βραχεῖαν τῆς πρώτης συζυγίας. βραχεῖαν γὰρ αὐτὴν εἶπε, καὶ οὐκ ἐποίει τὸ ἰωνικόν· κοινῆς δὲ συλλαβῆς λυομένης τῆς κυ, διὰ τὸ ἄφωνον εἶναι καὶ ἀμετάβολον, τὰ ἑξῆς ἔσται, ἡ προειρημένη ἐπιμιξία. Διονύσου) Ὁ δεύτερος στίχος μολοττός ἐστιν ἰωνικὸς ἀπ' ἐλάσσονος, τῶν πρώτων δύο βραχειῶν εἰς μίαν μακρὰν συναιρεθεισῶν· ὁ δὲ πρῶτος στίχος ἰωνικός.

## ΠΕΡΙ ΤΟΥ ΠΑΙΩΝΙΚΟΥ ΜΕΤΡΟΥ.

ΤΟ δὲ παιωνικὸν, εἴδη μὲν ἔχει τρία, τό, τε κρητικὸν, καὶ τὸ βακχειακὸν, καὶ τὸ παλιμβακχειακὸν, ὃ καὶ ἀνεπιτήδειόν ἐστι πρὸς μελοποιΐαν. τὸ δὲ κρητικὸν, ἐπιτήδειον· δέχεται δὲ καὶ λύσεις τὰς εἰς τοὺς καλουμένους παίωνας· καλεῖται δὲ ὑπὸ αὐτῶν τῶν ποιητῶν, κρητικὸν, ὥσπερ ὑπὸ Κρατίνου ἐν Τροφωνίῳ,

» Ἔχαιρε μοῦσα, κρητικὸν μέλος. εἶτα ἐπιφέρει,

» Χαῖρε δὴ | μοῦσα, χελιδονὶ | ἀμμὴν | χεῖς ὅμως

» Δ' ἦλθες, οὐ | πρὶν ἐλθεῖν | ἴαθι σαφές· | ἀλλ' ὅπως.

ἐπιτηδεύουσι δὲ ἔνιοι τὴν ποιητὴν τοὺς πρώτους καλουμένους παίωνας παραλαμβάνειν, πλὴν τῆς τελευταίας χώρας, εἰς ἣν τὸν κρητικὸν παραλαμβάνουσιν. οὕτω γοῦν τὸ πολυθρύλλητον τετράμετρον συντιθέασιν, οὗ παραδείγματα ἐκ τῶν Ἀριστοφάνους Γεωργῶν·

» Ὦ πόλι φί|λη Κέκροπος, | αὐτοφυὲς | Ἀττική,

» Χαῖρε λιπα|ρὸν δάπεδον, | οὖθαρ ἀγα|θῆς χθονός.

» Ὦ μακάρι|ε Αὐτόμενες | ὥς σε μακα|ρίζομεν.

τούτῳ μὲν οὖν τῷ ὑστάτῳ κέχρηται Ἀριστοφάνης, καὶ ἐν ἄλλοις δράμασι, καὶ ἐν Σφηξίν· ἀλλὰ καὶ Εὔπολις ἐν Κόλαξι. φησὶ γοῦν οὕτως·

» Φημὶ δὲ βρο|τοῖσι πολὺ | πλεῖστα παρέ|χειν ἐγώ,

» Καὶ πολὺ μέγιστ' ἀγαθά· | ταῦτα δ' ἀπο|δείξομεν.

ὅμως δ' ἐν τοῖς Γεωργοῖς Ἀριστοφάνης ἐποίησε τὸν τέταρτον παίωνα ἀντὶ πρώτου, οὐ τηρήσας τὸ πρῶτον παρατήρημα.

» Ἐν ἀγρῷ | δ' αὖ πλατάνων, | ἀντὶ δάφνου | πεύσομεν.

ἐν δὲ ταῖς προτέραις Θεσμοφοριαζούσαις, καὶ κρητικοὺς πολλάκις ἐν μέσοις τοῖς τετραμέτροις παρέλαβε.

» Μήτε μου | σὰς ἄνακα | λεῖν ἑλικο|βοστρύχους,

» Μήτε χάει | τὰς βοῶν | ἐς χορὸν, Ὀ|λυμπίας.



» Ἐνθάδε γὰρ | εἰσιν, ὡς | φησιν ὁ δι|δάσκαλος.

Σιμμίας δὲ ἐπετήδευσεν ἐν τοῖς ποιήμασι τοὺς πλείστους κρητικοὺς παραλαμβάνειν.

» Μᾶτερ ὦ | πότνια | κλῦθι νύμ|φα τᾶν ἀβρᾶν

» Δ' ἀδείκτου | μηκλύπτων | Ἥρᾳ ἀλί|ων μυχῶν.

καὶ πάλιν,

» Σοὶ μὲν εὖ|ἵππος, εὖ | πῶλος, εὐ|έγχεσπάλος

» Δῶκεν αἰχ|μὰν Ἐνυά|λιος εὔσκο|πον ἔχειν.

ἓν δὲ ποίημα ἐπετήδευσε συνθεῖναι, ὥστε ἀμφοτέρας τὰς ἑκατέρωθεν τοῦ κρητικοῦ μακρὰς λύσας, τὴν ἐκ πέντε βραχειῶν παραλαμβάνειν, πλὴν τῆς τελευταίας, ἐφ' ἧς τὸν τέταρτον παραλαμβάνει παίωνα· ἔσθ' ὅτε δὲ καὶ ἐπὶ τῆς παρατελευταίου κέχρηται.

» Σέ ποτε Διὸς | ἀνὰ πύματα | νεαρὲ κόρε | νεβροχίτων.

Συντιθέασι δέ τινες καὶ ἑτέρῳ τρόπῳ τὸ τετράμετρον, ὥστε τρεῖς εἶναι τοὺς καλουμένους τετάρτους παίωνας· εἶτα τελευταῖον, τὸν κρητικόν.

» Θυμελικὰν | ἴθι μάκαρ | φιλοφρόνως | εἰς ἔριν.

ὃ δὴ ἔφαμεν τρόπῳ συνεχῶς κεχρῆσθαι αὐτοὺς ἐπὶ τοῦ τετραμέτρου· ὥστε τοῖς τρισὶ παίωσι τοῖς πρώτοις ἐπάγειν κρητικόν· τούτῳ δὲ ἐπὶ τοῦ πενταμέτρου Θεόπομπος ὁ κωμικὸς ἐχρήσατο ἐν Παισίν, ἀφ' οὗ καὶ Θεοπόμπειον καλεῖται.

» Πάντ' ἀγαθὰ | δὴ γέγονεν | ἀνδράσιν, ἐ|μῆς ἀπὸ συ|νουσίας.

δύναται δὲ καὶ μέχρι τοῦ ἑξαμέτρου προκόπτειν τὸ μέτρον. ἀλλ'

τὸ τριακοντάσημον μὴ ὑπερβάλλειν· καὶ εἴη ἂν ἑξάμετρον καταληκτικόν, τὸ καλούμενον τοῦ Ἀλκμᾶνος, ἐκ μόνων ἀμφιμάκρων.

» Ἀφροδί|τα μὲν οὐκ|ἔστι, μάρ|γος δ᾽ ἔρως|οἷα παῖ|ς δὴ

» Ἀκρ᾽ ἐπ᾽ ἄν|θη καβαί|νων ἃ μή|μοι θίγῃς|τῶ κυπαί|ρισκω.

δεδηλώσθω δέ, ὅτι καὶ ὅλα ᾄσματα κρητικὰ συντίθεται, ὥσπερ καὶ παρὰ Βακχυλίδῃ.

» Ὦ περι|κλειτὲ δ᾽, ἀλ|λ᾽ ἀγνοῖ|σιν μὲν οὐ|σ᾽ ἔσπομαι.

τὸ δὲ βακχιακόν, σπάνιόν ἐστιν· ὥστε εἰ καί που ποτὲ ἐμπέσοι, ἐπὶ βραχὺ εὑρίσκεσθαι.

» Ὁ ταῦρος|δ᾽ ἔοικεν|κυλίξειν|ἀπ᾽ ἀρχῶν,

» Φθάσαντος|δ᾽ ἐπ᾽ ἔργοις,|προσπηδή|σεταί νιν.

τοσαῦτα περὶ τῶν ἐννέα τῶν μονοειδῶν, καὶ ὁμοιοειδῶν μέτρων.

Τό, τε κρητικὸν) Ὁ πρῶτος παίων, τὰς ἐν τέλει δύο βραχείας συνελὼν εἰς μίαν μακράν, ποιεῖ τὸ κρητικόν, τοῦτ᾽ ἔστι τὸ ἀμφίμακρον· ὁ δεύτερος πάλιν τὰς τελευταίας συνελών, ποιεῖ τὸ βακχεῖον· ὁ δὲ τρίτος πάλιν τὰς πρώτας δύο βραχείας συνελών, ποιεῖ τὸ παλιμβάκχειον. Μελοποιίαν) Εὑρισκομένων γὰρ δύο μακρῶν ἐφεξῆς, καὶ δύο βραχειῶν πάλιν, εὐρυθμία πολλὴ γίνεται, καὶ ἐν τετραπλασίονι λόγῳ εὑρήσεται. ἐπὶ μέντοι γε τοῦ ἀμφιμάκρου διπλασίων ὁ λόγος γίνεται. Λύσεις) Αὐτοὶ οὗτοι οἱ πόδες, λύονται εἰς τοὺς παίωνας. ἡ γὰρ πρώτη συλλαβὴ τοῦ κρητικοῦ λυομένη ποιεῖ τὸν πρῶτον παίωνα· ἡ δ᾽ ἐσχάτη, τὸν τέταρτον.
Ὦ πόλι φίλη) Ὅλοι παίωνες πρῶτοι κοινῆς οὔσης τῆς κε ἐν τῷ, λη Κέκροπος, τῆς τελευταίας μόνης τὸ κρητικὸν ἐχούσης. ἔστι δὲ τὸ μέτρον, παιωνικὸν τετράμετρον. Εν ἀγορᾷ) Τὸ γάρ, Εν ἀγορᾷ, τέταρτον παίωνα ἀντὶ τοῦ πρώτου ἐδέξατο· τοὺς δὲ τέσσαρας ἑξῆς πρώτους παίωνας. Ες χορὸν) Πάλιν τό, τας βοᾶν, κρητικὸν παρέλαβεν ἐν μέσῳ, καὶ τό, εἰσὶν ὡς, κρητικόν. ὅλως δὲ οἱ τελευταῖοι ὁμοίως κρητικοί. Μᾶτερ) Ὅλοι κρητικοί, τοῦ πότνια τὸ α, ἀντὶ μικρᾶς, τῷ λόγῳ τῆς κοινῆς, καθὸ κατέμιξε, λαμβανομένης, ἔτι δέ, καὶ διὰ τὴν τῶν δύο συμφώνων ἐπιφοράν. Σέ ποτε) Ἰδοὺ αἱ μὲν τρεῖς βάσεις, ἐκ τοῦ πενταβράχεος· ἡ δὲ τετάρτη ἐκ τοῦ τετάρτου παίωνος, τὸ νε πάλιν, ἐν τῷ, νεβροχίτων, ἀντὶ βραχείας παραλαμβανομένης.
Ὧ δὴ) Ἐπὶ τὰ πρῶτα ἀνατρέχει, ὅπου ἔφη ἐπιτηδεύουσι λαμβάνειν τοὺς πρώτους παίωνας, καὶ τὰ ἑξῆς, καὶ φησὶ τὸ ὅμοιον καὶ ἐπὶ τῶν τετραμέτρων πεποιηκέναι Θεόπομπον. Δύναται)



Ὁ γὰρ παίων πεντάχρονός ἐστι, καὶ οἱ εἰς αὐτὸ τὸ μέτρον ἐμπίπτοντες, ὅ, τε κρητικός, καὶ ὁ βακχεῖος· ὥστε εἶναι τὸ ἑξάμετρον, τριάκοντα χρόνων· πεντάκις γὰρ ἕξ, τριάκοντα. ἕως τούτου δὲ προβαίνει ἡ ποσότης τῶν ἐν τοῖς στίχοις χρόνων, κατὰ Ἡφαιστίωνα· ἐπεὶ καθ᾽ ἕτερον, καὶ ἕως λβ. ἔνθα τὰ ὑπὸ τὸ τρίτον γένος τῶν ποδῶν ὡς ἔχοντα ἓξ χρόνους, οὐδέποτε ποιεῖ ἑξάμετρον ὑπερπίπτοντα τὸν λ΄. πλὴν σημείωσαι, ὅτι τὸ κρητικόν, διαφέρει πρὸς τὰ ἄλλα μέτρα. τὰ μὲν γὰρ ἄλλα, κατὰ ἀφαίρεσιν, τὰ ἀντιπαθοῦντα αὐτοῖς μέτρα τίκτει· ὥσπερ τὸ ἰαμβικόν, κατὰ ἀφαίρεσιν τῆς ἐν τῇ ἀρχούσῃ βραχείας, τίκτει τὸ τροχαϊκόν· τροχαϊκὸν δὲ κατὰ ἀφαίρεσιν τῆς ἐν τῇ ἀρχούσῃ μακρᾶς τίκτει τὸ ἰαμβικόν· ταὐτὸ καὶ ἐπὶ τοῦ δακτυλικοῦ καὶ ἀναπαιστικοῦ. τὸ μέντοι κρητικόν, κατὰ ἀφαίρεσιν τῆς ἐν τῇ ἀρχούσῃ μακρᾶς, ποιεῖ τὸ βακχειακὸν μέτρον, ὃ μονοειδὲς αὐτό. αὔξεται δὲ τοῦτο, καὶ μέχρι ἑξαμέτρου. Μονοειδῶν) Μονοειδῶν, ὡς πρὸς ἀντιδιαστολὴν τῶν ἀσυναρτήτων. ἐκεῖνα γάρ, ἐκ δύο εἰδῶν συνέστηκεν. Ὁμοιοειδῶν) Ὁμοιοειδῶν, διότι ὑπὸ τὸ αὐτὸ εἶδος ἀναφέρεται πλείονα· οἷον, ὑπὸ τὸ ἀντισπαστικόν, τὸ φερεκράτειον, τὸ γλυκώνειον, ὁμοίως κἀπὶ τῶν ἄλλων.

## ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΑΝΤΙΠΑΘΕΙΑΝ ΜΙΞΕΩΣ.

ΤΗΣ δὲ κατὰ ἀντιπάθειαν μίξεως νῦν τὰ πυκνότατα παραθησόμεθα. ἐπιχοριαμβικὸν μὲν οὖν, τὸ σαπφικὸν καλούμενον ἑνδεκασύλλαβον.

» Ποικιλόθρον᾽ ἀθάνατ᾽ Ἀ|φρόδιτα,

τοῦτο, τὴν μὲν πρώτην συζυγίαν ἔχει τροχαϊκὴν ἑξάσημον, ἢ ἑπτάσημον· τὴν δὲ δευτέραν, χοριαμβικήν· τὴν δὲ κατακλεῖδα, ἐξ ἰάμβου, καὶ τῆς ἀδιαφόρου, ὥστε εἶναι τὰ πάντα δύο σχήματα, περὶ τὴν τετάρτην συλλαβήν· τῇ μὲν, βραχεῖαν γινομένην· τῇ δὲ μακράν. θάτερον μὲν οὖν σχῆμα, τὸ

» Ποικιλόθρον᾽ Ἀθάνατ᾽ Ἀφρόδιτα, πρόκειται· θάτερον δέ,

» Ἀλλὰ τυίδ᾽ ἔλ|θ᾽ αἴποτε, κἀτ|έρω|τα.

ὥστε εἶναι τὸν κανόνα τοιοῦτον,

ϐαϐα. ϐαϐα. αϐ. ϐϐαϐ. ϐϐαα. ϐαϐα.

ἔστι δὲ καὶ παρ᾽ Ἀλκαίῳ, καὶ ἄδηλον ὁπότερου ἐστὶν εὕρημα,

καὶ εἰ Σαπφικὸν καλεῖται.

» Χαῖρε Κυλλά|νας ὁ μέδων· |σὲ γάρ| μοι.

τοιούτοις χρῶνται τρισὶν εἰς ἑκάστην στροφήν, εἶτα ἐπιφέρουσι τὸ τέταρτον πεντασύλλαβον, χοριαμβικὸν πενθημιμερές, συνεμπίπτον τῷ δακτυλικῷ τῷ εἰς δεύτερον τροχαῖον· οἷόν ἐστι τὸ τοιοῦτον,

» Πότνια θυ|μόν·

τοῦτο μὲν οὖν ἀπὸ τροχαϊκῆς ἐστὶν ἐπιχοριαμβικόν· ἀπὸ δὲ ἀντισπαστικῆς, τὸ καλούμενον Πινδαρικὸν ἑνδεκασύλλαβον ὃ τὴν μὲν πρώτην, ἀντισπαστικὴν ἔχει· τὰς δὲ λοιπάς, ὁμοίως τῷ Σαπφικῷ, χοριαμβικὴν καὶ ἰαμβικὴν κατακλεῖδα· οἷον,

» Ὁ μουσαγέ|τας με καλεῖ|χορεῦ|σαι·

» Ἄγεις ὦ κλυ|τὰ θεράπον|τα Λα|τοῖ.

Ἐπιωνικὸν δὲ ἀπὸ μείζονος τρίμετρον καταληκτικόν ἐστι, τὸ καλούμενον Ἀλκαϊκόν, ἑνδεκασύλλαβον· ὃ τὴν μὲν πρώτην συζυγίαν ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον, ἢ ἑπτάσημον· τὴν δὲ δευτέραν, ἰωνικὴν ἀπὸ μείζονος, ἢ δευτέραν παιωνικήν· τὴν δὲ κατακλεῖδα, ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου.

» Ὦ 'ναξ Ἄπολ|λον παῖ μεγά|λω Δι|ός.

» Μέλαγχρος αἰ|δῶς ἄξιος| ἐς πό|λιν.

ὥστε εἶναι σχήματα μὲν αὐτοῦ τέσσαρα· κανόνα δέ, τοιόνδε.

αβαβ. ββαα. βααβ. ββαβ. ββαα. βαβ.

αβαβ. αβαα. βαα. ββαβ. βααβ.

τρίμετρον δὲ ἀκατάληκτον τὸ τούτου περιττεῦον συλλαβῇ τῇ τελευταίᾳ· καλούμενον δὲ Ἀλκαϊκὸν δωδεκασύλλαβον· οἷον,



» Ἰόπλοκ' ἄγνα, μειλιχό|μειδε Σαπφοῖ.

οὗ κανὼν οὗτος,

αβαβ. ββαα. βαβα. ββαβ. αβαα. βαβαβ.

τετράμετρον δὲ καταληκτικὸν ἐπιωνικόν, ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον, ἢ ἑπτάσημον· τὴν δὲ δευτέραν ἰωνικήν, ἢ δευτέραν παιωνικήν· τὴν δὲ τρίτην, τροχαϊκὴν ἑξάσημον, ἢ ἑπτάσημον· εἶτα τὴν ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου κατακλεῖδα· οἷον,

» Τοιοῦτος εἰς |Θήβας παῖς, |ἁρματέσσι| χήμε|νος.

» Μόλις μὲν Ἐν|νη, λεπτὸν ἔ|χοισ' ἐπ' ἄτρα|κτῳ λί|νον.

Ἀπ' ἐλάσσονος δὲ ἐπιωνικὸν τρίμετρόν ἐστι παρ' Ἀλκμᾶνι· ὃ τὴν μὲν πρώτην ἔχει, ἰαμβικὴν ἑξάσημον, ἢ ἑπτάσημον· τὰς δὲ ἑξῆς δύο, ἰωνικὰς ἑξασήμους καθαράς· οἷον,

» Γερειὸν· αἰ| γὰρ Ἀπόλλων| ὁ λύκιος.

» Ἰνὼ σάλας| ὁ μέδδοισαν| ἀπὸ μασδῶν.

κανὼν δὲ αὐτοῦ οὗτος·

αβαβ. ααββ. ααββ. ββαβ. ααββ. ααββ.

καθαροῦ μὲν ὄντος τοῦ ἰωνικοῦ, τούτου· ἀνακλωμένου δὲ ὄντος αὐτοῦ, παραταχθεῖσα ἰαμβική, ἤτοι ἑξάσημος, ἢ ἑπτάσημος, ποιεῖ τὸ τοιοῦτον· οἷον παρὰ Σαπφοῖ,

» Ἔχει μὲν Ἀν|δρομέδα κα|λὰν ἀμοιβάν.

» Σαπφοῖ τίπτον| πολυόλβοι|Ἀφροδίταν.

κανὼν δὲ αὐτοῦ ὅδε,

αβαβ. ααβα. βαββα. ββαβ. ααβα. βαββα.

Ἀνακλώμενον) Ἀνακλώμενοι καλεῖται τὸ μέτρον, ὅτι πολλάκις ὁ λείπων χρόνος ἔν τινι βάσει ἀνακλᾶται εἰς ἄλλην βάσιν, ὥσπερ τῆς δευτέρας βάσεως τοῦ δευτέρου παραδείγματος, λειπούσης χρόνῳ· παίωνα γὰρ ἔχει τρίτον πεντάσημον, ὁ λείπων χρόνος ἀνεκλάσθη ἐν τῷ Ἀφροδίταν. ἑπτάσημον γὰρ ἔχει διποδίαν τροχαϊκήν· ἔχει δὲ οὕτως, ὡς ὑποτέτακται ὑπὸ τοῦ τεχνικοῦ. ἡ γὰρ τελευταία τῆς δευτέρας, ὀφείλουσα εἶναι μακρά, βραχεῖά ἐστιν· ἡ δὲ πρώτη τῆς τρίτης ὀφείλουσα βραχεῖα εἶναι, μακρά ἐστιν, ἥτις ἀνακλᾶται ἐπὶ τὴν πρὸ αὐτῆς συλλαβήν, ἡ κατ' ἀντιστροφὴν νοεῖται.

## ΠΕΡΙ ΑΣΥΝΑΡΤΗΤΩΝ.

ΓΙΝΕΤΑΙ δὲ ἀσυνάρτητα, ὁπόταν δύο κῶλα μὴ δυνάμενα ἀλλήλοις συναρτηθῆναι, μηδὲ ἕνωσιν ἔχειν, ἀντὶ ἑνὸς μόνου παραλαμβάνωνται στίχου. πρῶτος δὲ τούτοις Ἀρχίλοχος κέχρηται. τῇ μὲν γὰρ ἐποίησεν, ἔκ τε ἀναπαιστικοῦ ἑφθημιμεροῦς, καὶ τροχαϊκοῦ ἡμιολίου, τοῦ καλουμένου ἰθυφαλλικοῦ·

» Ἔρασ|μονίδη|Χαρίλα|ε|, χρῆμα|τοι γε|λοῖον.

τοῦτο δὲ οἱ μετ' αὐτὸν οὐχ ὁμοίως αὐτῷ ἔγραψαν. ἐστὶ μὲν γὰρ τῇ τε τομῇ δι' ὅλου κέχρηνται ἑφθημιμεροῦς, καὶ σπονδείους παρέλαβον ἐν τῷ ἀναπαιστικῷ κώλῳ δύο· οἷον,

» Ἀστῶν|δ' οἱ μὲν,|κατ' ὄπι|σθεν|ἧσαν·|οἱ δὲ|πολλοί.

οἱ δὲ μετ' αὐτὸν, τῇ μὲν τομῇ ἀδιαφόρως ἐχρήσαντο, ὥσπερ Κρατῖνος ἐν τοῖς τοιούτοις.

» Χαῖρ' ὦ|μέγα Χρυ|σόγελως|ὁ|μιλέ|τῆς ἐ|πίβδαις,

» Τῆς ἡ|μετέρας|σοφίας|κρι|τὴς, ἄ|ριστε|πάντων·

» Εὐδαί|μων ἔτι|κλέ σε μή|τηρ|ἰκρί|ων ψό|φησις.

ἐνταῦθα γὰρ ὁμοίως τὸ τρίμετρον τέτμηται τοῖς ἀρχιλοχείοις· τὰ δὲ πρὸ αὐτοῦ δύο, πρὸ συλλαβῆς. καὶ μέντοι καὶ τοὺς σπονδείους παρῃτήσαντο τοὺς ἐν τῷ μέσῳ, οἱ μετ' αὐτὸν Ἀρχίλοχον,

οὐχ



οὐχ ὡς ἀναπαιστικὸν ἡγούμενοι· ἀλλὰ προσοδιακὸν, τὸ ἐξ ἰωνικῆς, καὶ χοριαμβικῆς, τῆς ἰωνικῆς, καὶ βραχεῖαν τὴν πρώτην δεχομένης. δύναται δὲ καὶ εἰς τρίμετρον ἀνάπαιστον διαιρεῖσθαι, εἰ ἀπὸ σπονδείου ἄρχοιτο, οἷον τὸ Σαπφοῦς,

» Αὐτὰ|δὲ σὺ Καλ|λιόπα.

Τοῦ προσοδιακοῦ, ἓν καὶ τοῦτο εἶδος, τὸ ἐξ ἰωνικοῦ καὶ χοριαμβικοῦ συγκείμενον· τὸ τοίνυν ἀναπαιστικὸν εἴ τις οὕτω διαιροῖτο, εὑρήσει τῷ προσοδιακῷ ἐφαρμόζον. ἐὰν μὲν γὰρ σπονδεῖον ἔχῃ τὸν πρῶτον, τοὺς δὲ ἑξῆς ἀναπαίστους, τὰς τοῦ δευτέρου ἀναπαίστου δύο βραχείας προσθεὶς τῷ σπονδείῳ, ποιήσεις ἰωνικὸν ἀπὸ μείζονος, εἶτα ἑξῆς χοριαμβικόν· δύναται δὲ κἂν ἀπὸ ἀναπαίστου, κἂν ἀπὸ δακτύλου ἄρχηται τὸ ἀναπαιστικὸν, ὡς ἰωνικὸν λελυμένον παραλαμβάνεσθαι, ἑξῆς χοριάμβων γινομένων· διὰ τοῦτο καὶ ἀπὸ ἰάμβου ἄρχονται ἐν τῷ ἀναπαιστικῷ, ὥσπερ Ἀρχίλοχος ἐν τῷ,

» Ἔρασ|μονίδη|Χαρίλα|ε.

ὡς δυναμένου καὶ τοῦ παίωνος δευτέρου, ἀντὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος παραλαμβάνεσθαι, ἵνα μὴ ἀπεοικὸς τῷ προσοδιακῷ γένηται τὸ ἀναπαιστικόν. παραιτοῦνται τοίνυν τοὺς ἐν μέσῳ σπονδείους, ἵνα μὴ ἀλλότριον γένηται τὸ ἀναπαιστικὸν τοῦ προσοδιακοῦ, ὅπερ ἐστὶν ἐξ ἰαμβικοῦ καὶ χοριαμβικοῦ. δύναται δέ τις βιαζόμενος, καὶ ἑξῆς ὄντων δύο σπονδείων, ὡς παρὰ Ἀρχιλόχῳ·

» Ἀστῶν|δ' οἱ μὲν,|κατόπι|σθεν.

τὸν ἀνάπαιστον μολοσσὸν ποιήσας, καὶ λαβὼν αὐτὸν ἀντὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος, τὸν ἑξῆς χορίαμβον ποιῆσαι. εἰ μὴ ἄρα ἐν τῷ προσοδιακῷ, ἡ συναίρεσις τοῦ ἰωνικοῦ, τοῦτ' ἔστιν ὁ μολοσσός,

μὴ ἐμπίπτοι. ὑπενόησε δ' αὖ τις καὶ τρίτην διαφορὰν εἶναι τῷ Ἀρχιλόχῳ πρὸς τοὺς μετ' αὐτόν, καθ' ἣν ἀναπαίστῳ δοκεῖ τῷ πρώτῳ κεχρῆσθαι.

» Ἐρέω | πολὺ φίλ | ταθ' ἑταί | ρων. | τέρψε | αι δ' ἀ | κούων.

» Φιλέειν | στυγνόν | περ ἐόν | τα, | μηδὲ | διαλέ | γεσθαι.

ᾧ οὐκ ἐκεχρήσαντο ἐκεῖνοι. φαίνεται δ' οὐδ' αὐτὸς κεχρημένος. δύναται γὰρ ἀμφότερα κατὰ συνεκφώνησιν εἰς ἴαμβον περιίστασθαι· ἡ δὲ φαντασία τοῦ ἀναπαίστου γέγονε, διὰ τὴν ἰωνικὴν ἐν ἑκατέρῳ διαίρεσιν· ὥστε, τὰς προειρημένας δύο μόνας διαφορὰς εἶναι τοῖς νεωτέροις, πρὸς τὸν ἰαμβοποιὸν Ἀρχίλοχον. Κρατῖνος δὲ ὅταν λέγῃ ἐν τοῖς Ἀρχιλόχοις,

» Ἐρα | σμονίδη | Βάθιπ | πε, | τῶν ἀ | ωρο | λείων.

τοῦτο τὸ μέτρον ἀγνοεῖ, ὅτι οὐκ ἄντικρυς μιμεῖται τοῦ Ἀρχιλόχου τὸ Ἐρασμονίδη. ἓν μὲν δὴ τοῦτο, τῶν παρ' Ἀρχιλόχῳ ἀσυναρτήτων· ἄλλο δέ, τὸ ἐκ δακτυλικῆς τετραποδίας, καὶ τοῦ αὐτοῦ ἰθυφαλλικοῦ· οἷόν ἐστι τὸ τοιοῦτον,

» Οὐκ ἔθ' ὁ | μῶς θάλ | λεις ἁπα | λὸν χρόα, | κάρφε | ται γὰρ | ἤδη.

γίνεται δὲ ὁ τελευταῖος τῆς τετραποδίας, διὰ τὴν ἐπὶ τέλους ἀδιαφορίαν, καὶ κρητικός· οἷός ἐστιν οὗτος,

» Καὶ βήσ | σας ὀρέ | ων δυς | παιπάλους, | οἷος | ἦν ἐφ' | ἥβης.

τοῦτο παρὰ μὲν τοῖς νεωτέροις, πολὺ τὸ μέτρον ἐστίν, ὥσπερ παρὰ Καλλιμάχῳ.

» Τόν με πα | λαιστρί | την ὁμό | σας θεὸν, | ἑπτά | κις φι | λῆσαι.

παρὰ δὲ Κρατίνῳ ἐν τοῖς Σερίφοις, οὐκ ἔτι ἀκατάληκτόν ἐστι τὸ δακτυλικὸν τὸ ἡγούμενον τοῦ ἰθυφαλλικοῦ· ἀλλὰ καταληκτι-



κὸν εἰς δισύλλαβον.

» Χαίρετε | πάντες | θεοὶ πολύ | βωτον, | ποντί | αν Σέ | ριφον.

τρίτον δέ ἐστι παρ' Ἀρχιλόχῳ ἀσυνάρτητον, ἐκ δακτυλικοῦ πενθημιμεροῦς, καὶ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου.

» Ἀλλά μ' ὁ | λυσιμε | λὴς | ὦ ταῖ | ρε δά | μναται | πόθος.

ἔνδοξόν ἐστιν ἐπισύνθετον, καὶ τὸ διπενθημιμερές, τὸ ἐγκωμιολογικὸν καλούμενον, ὅπερ ἐστὶν ἐκ δακτυλικοῦ πενθημιμεροῦς, καὶ ἰαμβικοῦ τοῦ ἴσου, ᾧ κέχρηται μὲν Ἀλκαῖος, ἐν ᾄσματι, οὗ ἡ ἀρχή,

» Ἦρ' ἔτι | Δινομέ | νῃ | τῷ Τυρ | ρακή | ῳ,

» Τ' ἄρμενα | λαμπρὰ κέ | α | τ' ἐν Μυρ | σινή | ῳ.

κέχρηται δὲ καὶ Ἀνακρέων ἐν πλείοσιν ᾄσμασιν.

» Ὀρσ' ὁλέ | πος μὲν Ἄ | ρης, | φιλέει | μὲν αἰχ | μαί.

τὸ δὲ ἀντεστραμμένον τούτῳ, ἰαμβέλεγος καλεῖται· τοῦτο δὲ ἐν συνεχείᾳ οὐκ ἴσμεν τινὰ κεχρημένον· διεσπαρμένως δέ·

» Πρῶτον | μὲν εὖ | βου | λον Θέμιν | οὐρανί | αν.

» Κείνων | λυθὲν | των | σαῖς ὑπὸ | χερσὶν ἄ | ναξ.

γίνεται δὲ καὶ τριπενθημιμερὲς ἐκ τούτων, τὸ καλούμενον πλατωνικόν, ἐν ᾧ, τὰ μὲν ἑκατέρωθεν δύο δακτυλικά εἰσι πενθημιμερῆ· τὸ δὲ μέσον, ἰαμβικόν· κέχρηται δὲ αὐτῷ Πλάτων ἐν Ξαντείαις.

» Χαῖρε πα | λαιογό | νων | ἀνδρῶν | θεα | τὰ | ξυλλογα | παντοσό | φων.

ἀντεστραμμένον δέ ἐστι τούτῳ τὸ πινδαρικὸν καλούμενον.

βέλεγος, ἐκ τοῦ ποιοῦ· ἔστι δὲ, ἐν συνεχείᾳ. τὸ πρῶτον γάρ ἐστιν ἐκ δύο ἰάμβων, καὶ συλλαβῆς· τὸ δὲ δεύτερον, ἐκ δύο δακτύλων, καὶ συλλαβῆς μιᾶς· τὸ δὲ τρίτον, δύο ἴαμβοι, καὶ συλλαβὴ, ὡς καὶ τύπος ἅπας, τέσσαρες ἴαμβοι, καὶ δύο συλλαβαὶ, καὶ τέσσαρες δάκτυλοι, καὶ δύο συλλαβαί. τὸ μὲν β, διπλάσιον. εἰ γὰρ ἐκ δισυλλάβου εἴη, οὐ δυνατόν. τὸ γὰρ δεύτερον μέρος πάντως δισυλλάβοις αἰτεῖ.

## ΠΕΡΙ ΤΟΥ ΕΛΕΓΕΙΟΥ ΜΕΤΡΟΥ.

ΤΟΥ δὲ δακτυλικοῦ πενθημιμεροῦς δὶς λαμβανομένου γίνεται τὸ ἐλεγεῖον, ἀλλὰ τὸ μὲν δεύτερον αὐτοῦ μέρος, ἑπτασύλλαβον ἀεὶ μένει, ἐκ δύο δακτύλων, καὶ συλλαβῆς· τὸ δὲ πρότερον, κινουμένους ἔχει τοὺς δύο πόδας, ὥστε ἢ δακτύλους γίνεσθαι, ἢ σπονδείους· ἢ τὸν μὲν πρῶτον, δάκτυλον· τὸν δὲ δεύτερον, σπονδεῖον· ἢ ἀνάπαλιν, τὸν μὲν πρῶτον, σπονδεῖον· τὸν δὲ δεύτερον, δάκτυλον. παρὰ τὴν αἰτίαν, τὸ μὲν δεύτερον ἀεὶ διπλασιαζόμενον, τὴν ἐλεγείαν ποιεῖ· τὸ δὲ πρότερον, οὐκ ἔπι· ἐὰν μὴ, ἐκ δύο δακτύλων συνεστήκοι· οἷον,

» Νηΐδες | οἱ μού | σης | οὐκ ἐγέ | νοντο φί | λοι.

τὸ μὲν δεύτερον διπλασιασθὲν, ποιεῖ ἐλεγείαν· τὸ δὲ πρότερον, οὐχ. ὥστε αὐτὸ, ποτὲ μὲν, τεσσαρεσκαιδεκασύλλαβον· ποτὲ δὲ, τρεισκαιδεκασύλλαβον εἶναι. καὶ τοῦ μὲν τεσσαρεσκαιδεκασυλλάβου, ἓν σχῆμα·

» Παύσατε, | τῶν δ' ἐτέ | ων ἡ δεκὰς | οὐκ ὀλί | γη.

ὁμοίως δὲ τοῦ δωδεκασυλλάβου ἕν·

» Τίκτε | ταὶ, βρέφος | τοῦτο δ' | οὐκ ἐμὸν | ἀλλὰ Δι | ός,

τοῦ δὲ τρεισκαιδεκασυλλάβου, δύο σχήματα· ποτὲ μὲν, πρῶτος ὁ δάκτυλος·

» Νηΐδες | οἱ μού | σης | οὐκ ἐγέ | νοντο φί | λοι.



ποτὲ δὲ δεύτερος·

» Ῥέζειν | καὶ στεφέ | ων | οὐ ἅδε | τις παρεί | ω.

δεῖ δὲ τὸ ἐλεγεῖον τέμνεσθαι πάντως, καθ' ἑκάτερον τῶν πενθημιμερῶν· εἰ δὲ μὴ, ἔσται πεπλημμελημένον· οἷον τὸ Καλλιμάχου,

» Ἱερὰ | νῦν δὲ Διο | σκουρίδε | ω γένε | ή.

ἄλλο ἀσυνάρτητον ὁμοίως κατὰ τὴν πρώτην ἀντιπάθειαν, ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου, καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς, τοῦ καλουμένου εὐριπιδείου· οἷον ἐστὶ τὸ ἐν τοῖς ἀναφερομένοις εἰς Ἀρχίλοχον ἰοβάκχοις.

» Δήμη | τρος ἁ | γνῆς καὶ | κόρης | τὴν πα | νήγυ | ριν σέ | βων.

ἄλλο τούτου ἔλαττον κατὰ τὴν τελευταίαν συλλαβὴν, τὸ καλούμενον εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον· οἷον, παρὰ μὲν αὐτῷ Εὐριπίδῃ·

» Ἐῷ | ος ἡ | νίχ' ἱπ | πότας | ἐξέ | λαμψεν | ἀστήρ.

παρὰ δὲ Καλλιμάχῳ·

» Ἔνεσ | τ' Ἀπόλ | λων τῷ | χορῷ, | τῆς λύ | ρης ἀ | κούω·

» Καὶ τῶν | ἐρώ | των ἤ | θομην, | ἔστι | κ' Ἀφρο | δίτα.

ἄλλο ἀσυνάρτητον ὁμοίως, κατὰ τὴν πρώτην ἀντιπάθειαν, ἐκ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου, καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς, ὅπερ ἐὰν παραλλάξῃ τὴν τομὴν, γίνεται τροχαϊκὸν προκαταληκτικόν.

» Ἐστὶ | μοι κα | λὰ πά | ϊς χρυ | σέοι | σιν ἀν | θέμοι | σιν.

» Ἐστὶ | μοι κα | λὰ πά | ϊς | χρυσέ | οισιν | ἀνθέ | μοισιν.

» Ἔμφε | ρῆ ἐ | χουσα | μορ | φὰν κλε | ῒς ἀ | γαπη | τά.

„ Ἀντὶ | τὰς δ᾽ ἐ | γὼ, οὐ | δὲ Λυ | δίαν | οὐδ᾽ ἐ | ραννάν.

τούτων δὲ τὸ μὲν δεύτερον, δηλαδὴ τὸ ἑφθημιμερὴ ἔχον μορφὴν, κλεῖς ἀγαπητά, δῆλόν ἐστιν ἀπὸ τῆς τομῆς, ὅτι οὐ σύγκειται ὡς προείρηται, ἐκ τοῦ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου, καὶ τοῦ ἑφθημιμεροῦς ἰαμβικοῦ· τὸ δὲ πρότερον, διὰ τὸ παρὰ συλλαβῆς ἔχειν τὴν τομὴν, ἐγένετο προκαταληκτικόν, ἐκ τροχαϊκοῦ ἑφθημιμεροῦς.

„ Ἔστι | μοι κα | λᾶ πά | ϊς,

καὶ διμέτρου ἀκαταλήκτου, τοῦ,

„ Χρυσέ | οισιν | ἄνθε | μοισι.

τὸ δὲ τρίτον ἐξ ὑπερκαταλήκτου,

„ Ἀντὶ | τὰς δ᾽ ἐ | γὼ οὐ | δὲ Λυ | δίαν,

καὶ βραχυκαταλήκτου,

„ Πᾶσαν | οὐδ᾽ ἐ | ραννάν.

Ἀνακρέων δὲ οὐκ ἰαμβικῷ, ἀλλὰ χοριαμβικῷ ἐπιμίκτῳ πρὸς τὰς ἰαμβικὰς ἐπήγαγε τὸ ἰθυφαλλικόν.

„ Τὸν λυροποι | ὸν ἠ | ρόμην, | Στράτιν | εἰ κο | μήσει.

τούτου δὲ μεῖζόν ἐστι συλλαβῇ τῇ τελευταίᾳ, τὸ καλούμενον κρατίνειον. ἔστι γὰρ ἐκ χοριαμβικοῦ ἐπιμίκτου, τοῦ τὴν δευτέραν ἰαμβικὴν ἔχοντος, καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς.

„ Εὔϊε κισ | σοχαῖ | τ᾽ ἄναξ | χαῖρ᾽ ἔ | φασκε | Φαντί | δης.

„ Γνῶτα φορή | τα, πολύ | τα τλ | μητά | τῷδε | τῷ χο | ρῷ.

„ Γνῶ ξενίου | νόμοι | σι, καὶ | Σχοινί | ωνος, | ὦ Χά | ρων.

τὸ μὲν οὖν καθαρὸν κρατίνειον, τοιοῦτόν ἐστι. πολυσχηματίστον δὲ αὐτὸ



αὐτὸ πεποιήκασιν οἱ κωμικοί. τοὺς γὰρ σπονδείους τοὺς ἐμπίπτοντας ἐν τοῖς ἰαμβικοῖς καὶ τοῖς τροχαϊκοῖς, παρὰ τάξιν παραλαμβάνουσιν ἐν ταῖς μέσαις συζυγίαις, τῇ τροχαϊκῇ καὶ τῇ ἰαμβικῇ. Εὔπολις δὲ, ἐν τοῖς Ἀστρατεύτοις, καὶ ἀτακτότατα συνέθηκε τὸ εἶδος. πῆ μὲν γὰρ τοιαῦτα ποιεῖ,

„ Ἄνδρες ἑταῖ | ροι δεῦ | ρ᾽ ἤδη | τὴν γνώ | μην προσ | ίσχε | τε,

„ Εἰ δυνατὸν, | καὶ μή | τι μεῖ | ζον πρατ | τουσα | τύγχα | νει.

πῆ δὲ τοιαῦτα,

„ Καὶ ξυνέτην | νόμην | ἀεὶ | τοῖς ἀγαθοῖς, | φάγροι | σιν.

ὥσθ᾽ ὅλον αὐτὸν χοριαμβικὸν ἐπίμικτον γενέσθαι, ὅμοιον ἀνακρεοντείῳ τῷδε,

„ Σίμαλον εἶ | δον ἐν | χορῷ, | πηκτίδ᾽ ἔχον | τα κα | λήν.

πῆ δὲ καὶ ἐν ἄλλοις ἐχρήσατο λίαν ἀτάκτοις σχήμασι. καὶ τὸ ἐκ τῶν ἀντισπαστικῶν δὲ, καταληκτικῶν διμέτρων, δικατάληκτον ὁ Φερεκράτης ἑνώσας, σύμπλεκτον ἀνάπαιστον καλεῖ, ἐν τῇ Κοριανοῖ.

„ Ἄνδρες πρόσχε | τε τὸν | νοῦν, | Ἐξευρήμα | τι και | νῷ

„ Συμπτύ | κτοις ἀ | ναπαί | στοις.

καὶ τὸ ἐκ τῶν ἰαμβικῶν ἑφθημιμερῶν, δικατάληκτον Καλλίμαχος,

„ Δήμη | τρι τῇ | Πυλαί | ῃ | τῇ τοῦ | τον ἐκ | Πελασ | γῶν.

ὅσπερ προσέταξεν ἐπισύνθετον, τοῦ ἐκ δακτυλικῆς τετραποδίας καὶ ἰθυφαλλικοῦ τοῦδε,

„ Ἀκρίσι | ος τὸν | νηὸν ἔ | δήματο, | τοῦθ᾽ ὁ Ναυ | κρατί | της.

καὶ τὰ ἐξ ἰθυφαλλικῶν δύο, ἃ Σαπφὼ πεποίηκε.

» Δεῦρ' | δεῦτε | Μοῖσαι | χρύσε|ον λι|ποῖσαι.

καὶ τὸ ἐκ χοριαμβικῶν ἑφθημιμερῶν τῶν εἰς τὴν ἰαμβικὴν κατακλεῖδα, ἡ αὐτὴ ποιήτρια,

» Ὄλβιε γαμ|βρέ, σοὶ | μὲν | δὴ γάμος, ὡς | ἄραι|ο,

» Ἐκτετέλε|στ', ἔχεις | δὲ | παρθένον, ἂν | ἄραι|ο.

καὶ ὁ ποιὸς συνῆψε τὴν λέξιν.

» Μελίχροος | δ' ἐπ' ἱ|μερ|τῷ κέχυται | προσώ|πῳ.

τοσαῦτα καὶ περὶ τῶν ἀσυναρτήτων.

Δεῖ δὲ τὸ ἐλεγεῖον) Ἀντὶ τοῦ εἰς μέρος λόγου καταλήγειν· ἐὰν δὲ τὸ δεύτερον μέρος τοῦ ἐλεγείου, οἷον τὸ, Οὐκ ἐγένοντο φίλοι, διπλασιάσῃ τις, ποιεῖ ἐλεγεῖον· ἐπειδὴ καὶ τὸ πρῶτον μέρος, καὶ τὸ δεύτερον δέχεται δακτύλους· τὸ δὲ πρῶτον ἐὰν διπλασιάσῃ τις, οὐ πάντως ποιεῖ ἐλεγεῖον. ἐὰν γὰρ ἔχῃ τὸ πρῶτον μέρος σπονδεῖον, οὐ γίνεται· οὐδὲ γὰρ δύναται αὐτὸν τάξαι ἐν τῷ δευτέρῳ μέρει, μὴ δεχομένου τοῦ δευτέρου μέρους σπονδεῖον· ἐὰν δὲ τὸ πρῶτον μέρος ἐκ δακτύλων ᾖ, δυνατόν· διὸ εἶπεν, οὐ πάντως. δεῖ δὲ τοῦτο ἐπισημειώσασθαι, ὅτι ἐὰν ἡ τελευταία τοῦ δευτέρου μέρους συλλαβὴ, βραχεῖα εἴη, οὐδὲ αὐτὸ ποιεῖ ἐλεγεῖον· εὑρήσεται δὲ ἡ τελευταία συλλαβὴ, ἐν τῷ διπλασιάζεσθαι τοῦ πρώτου μέρους βραχεῖα· ὅπερ ἐστὶν ἀδύνατον, εἰ μὴ ἄρα τις εἴποι ὅτι τῷ λόγῳ τῆς τελευταίας. Διοσκουρίδεω) Ἡ γὰρ τομὴ τοῦ πρώτου πενθημιμεροῦς, οὐκ ἀπήρτισεν εἰς μέρος λόγου. λήγει γὰρ εἰς τὸ, Διο· τὸ δὲ ὅλον μέρος, εἰς τὸ Διοσκουρίδεω. Κατὰ τὴν πρώτην ἀντιπάθειαν) Πρώτη ἀντιπάθεια, ἡ ἐκ τῶν δισυλλάβων τῶν ἐναντίων σύνθεσις, πρὸς τοὺς δισυλλάβους ἢ ἐκ τρισυλλάβων, ἔτι ἐστὶ τῶν ἁπλῶν, ὅταν ἐξ ἀντιστροφῆς παραλαμβάνωνται· οἷον, εἰ ἀντὶ ἀπὸ βραχείας ἀρχῆς ἰάμβου, ὁ ἀπὸ μακρᾶς τροχαῖος παραληφθείη· καὶ ἀντὶ ἀπὸ μακρᾶς ἀρχῆς δακτύλου, καὶ δύο βραχειῶν, ὁ ἀπὸ βραχείας ἀρχόμενος βακχεῖος, καὶ ἑξῆς ἔχων δύο μακρὰς παραληφθείη. ἔστι δὲ ἀντιπάθεια, ἡ ἐν τοῖς συνθέτοις ἐναντίωσις· λέγω ἐν τοῖς τετρασυλλάβοις, οἷον ἐστὶ τὸ ἀναπαίστοις ὡς εἶναι μὲν τριῶν μερῶν τῶν ἐπὶ τέλους τροχαίων, μὴ προσούσης τῆς συλλαβῆς· τοῦτο δέ ἐστι τὸ ἰθυφαλλικὸν, συγκείμενον ἐκ τριῶν τροχαίων. Ἔασος, ἠνίχ') Ἐνδεῖ γὰρ ἡ συλλαβὴ τοῦ ἑφθημιμεροῦς. καὶ τὸ ἑξῆς ὅμοιον, καὶ τὸ γ. Ὁμοίως κατὰ τὴν πρώτην) Πρώτην ἀντιπάθειαν λέγει, τὸ α τῶν δύο ἀσυναρτήτων, τῶν συγκειμένων ἐξ ἐναντίων ποδῶν δισυλλάβων. τὸ μὲν γὰρ ἐξ ἰάμβων σύγκειται, τὸ δὲ ἐκ τροχαίων, οἵ εἰσιν ἐναντίοι. Γίνεται τροχαϊκὸν προκαλόν.) Ὅλον τροχαϊκὸν λοιπὸν ἔσται, εἰ παραλλάξεις τοῦ δέοντος τόπου τὴν τομὴν, προκαταληκτικὸν, διὰ τὸ, κατὰ τὸν δέοντα τῆς καταλήξεως τόπον συμβαίνειν τὴν τομὴν, ὡς ἑξῆς ὑπόκειται. Χρυσέοισιν ἀνθέμοισιν) Ἐὰν εἰς τὸ χρυ, γένηται ἡ τομὴ, εὑρίσκονται τέσσαρες τροχαῖοι, καὶ τρεῖς ἴαμβοι, καὶ συλλαβὴ, καὶ ἡ τομὴ οὐ λήγει εἰς λέξιν· ἐὰν δὲ ἡ τομὴ γένηται εἰς τὸ παῖς, καὶ εἰς λέξιν λήγει, καὶ εὑρίσκεται τὸ ὅλον τρο-



χαϊκόν. τὰ δύο τὰ ἐφεξῆς, ἐκ τροχαίων καὶ ἰάμβων. τὸ μετὰ τοῦτο, τὸ Ἐμφερῆ ἔχουσα μορφὴν, διὰ τὸ τρισύλλαβον, περὶ μιᾶς συλλαβῆς τῆς δεούσης ἐν τῷ παῖς. ἔδει γὰρ μετὰ ἑτέρων συλλαβῶν τετμῆσθαι. Ἐξ ὑπερκαταλ.) Ὑπερκατάληκτόν ἐστι, τὸ μετὰ πληρότητος περιττεῦον συλλαβῇ, εἰ δισύλλαβοι εἶεν οἱ πόδες· εἰ δὲ τρισύλλαβοι, καὶ δύο. Καὶ βραχυκαταλήκτου) Παρὰ συλλαβὴν γὰρ εὑρίσκεται τὸ ἑφθημιμερὲς, ὥστε γίνεσθαι δίμετρον βραχυκατάληκτον.

Τὸν λυροποιὸν) Ἐστι γὰρ χορίαμβος, καὶ δύο ἴαμβοι, καὶ τρεῖς τροχαῖοι, τὸ ἰθυφαλλικὸν, ἕως τοῦ κομίσαι. Τοὺς γὰρ σπονδείους) Οἷον ἐν ταῖς ἀρτίοις δέχεται τὸν σπονδεῖον τὸ τροχαϊκόν· οὗτοι δὲ ἐν ταῖς περιτταῖς χώραις καὶ τὸ ἰαμβικόν· οὗτοι δὲ καὶ ἐν ταῖς ἀρτίαις χώραις. Ἐν ταῖς μέσαις) Μέσαις τοῦ παντὸς μεγέθους ἔν τε τῇ δευτέρᾳ τοῦ ἰαμβικοῦ, καὶ τῇ πρώτῃ τοῦ τροχαϊκοῦ. Ἄνδρες ἑταῖροι) Ἐν τῷ ἰαμβικῷ, σπονδεῖον εἰς τὴν ἀρτίαν, λέγω δὴ τὴν τετάρτην, ἥ ἐστιν ἤδε, Δεῦρ' ἤδη. καὶ ἐν τῇ τροχαϊκῇ, εἰς τὴν περιττὴν, λέγω δὲ, τὴν μίαν, ἥ ἐστι τὴν γνώμην. Καὶ ξυνεχομένην) Τοῦτο καὶ τὸ ἑξῆς ἀνακρεόντειον, ἔχουσι, τὸ μὲν α χορίαμβον, εἶτα δύο ἰάμβους· καὶ πάλιν, χορίαμβον, καὶ τροχαῖον, καὶ συλλαβήν· καὶ τὸ ἐκ τῶν ἀντιπαθῶν· ἀντίπαστος δέ ἐστιν, ἐκ βραχείας, καὶ δύο μακρῶν, καὶ βραχείας. εἴρηται δὲ, ὅτι τὴν πρώτην συλλαβὴν τρέπει πρὸς τοὺς τέσσαρας δισυλλάβους, καὶ ἡνίκα γίνεται ἡ πρώτη ἀντὶ βραχείας, γίνεται ὁ τέταρτος ἐπίτριτος, ὥσπερ ἐνταῦθα. τρία τοίνυν πέφυκεν ἐκ δύο ἀναπαίστων, περὶ τὴν τελευταίαν συλλαβήν. καταληκτικὰ γὰρ εἶπεν εἶναι αὐτά. Δικατάληκτον ὁ Φερεκράτης) Ἐπεὶ τὸ ἐκ δύο ἀντιπαστικῶν καταληκτικῶν, δικατάληκτον εἶπε. Σύμμικτον ἀνάπαιστον) Οὐχ ὅτι ἐξ ἀναπαίστου σύγκειται, ἀλλ' ἔοικεν ἐν παραβάσει αὐτῷ κεχρῆσθαι ὁ Φερεκράτης, μετὰ τὸ κομμάτιον, ἐν τῷ καλουμένῳ ἀναπαίστῳ, καὶ εἰ μὴ ἀναπαιστικὸν εἴη τὸ μέτρον. Ἄνδρες προσέχετε τὸν) Ἡ γὰρ τελευταία, τὸ τὸν νοῦν, κατακλεὶς ἀντιπαστική ἐστιν, ὅ ἐστιν ἀντίπαστος παρὰ συλλαβὴν τὴν βραχεῖαν, ἥτις λείπει. υ -- υ. Δεῦρο δεῦτε) Χορίαμβος καὶ ἴαμβος, καὶ συλλαβή ἐστιν, ὅ ἐστιν ἑφθημιμερὲς, πέντε δὲ τοιαῦτα παρατίθεται. δοκεῖ δὲ τὸ σαπφικὸν μὴ εἶναι ἀσυνάρτητον· δύο γὰρ τροχαϊκά εἰσι. φαμὲν οὖν ὅτι, ἐὰν ἅμα συναρτήσωμεν τὰ δύο τροχαϊκὰ, εὑρίσκεται ἐν τῇ τρίτῃ χώρᾳ τῇ περιττῇ σπονδεῖος, ἐν τροχαϊκῇ, ὅπερ ἐστὶν ἄτοπον. Ιαμβ. κατακλεῖδα) Οὐκ ἔτεμε γὰρ τὸ μέρος τοῦ λόγου, εἰς τὴν κατακλεῖδα τὴν ἰαμβικὴν, ἀλλὰ συνῆψε τῷ ἐφεξῆς ἱμερτῷ.

## ΠΕΡΙ ΠΟΛΥΣΧΗΜΑΤΙΣΤΩΝ.

ΠΟΛΥΣΧΗΜΑΤΙΣΤΑ δὲ καλεῖται, ὅσα κατ' ἐπιλογισμὸν οὐδένα, πλῆθος ἐπιδέχεται σχημάτων, κατὰ προαίρεσιν δὲ ἄλλως τῶν χρησαμένων ποιητῶν. τούτων δ' ἐπισημότατά ἐστι τάδε· τὸ πριάπειον, οὐ μόνον ἰαμβικῇ τῇ δευτέρᾳ χρώμενον, ἀλλὰ καὶ χοριαμβικῇ· καὶ τὸν ἀντίσπαστον ἔσθ' ὅτε, τὸν πρῶτον τοῦ παντὸς μέτρου, εἰς σπονδεῖον περιάγουσιν, ἐάν τε ἀπὸ ἰαμ-

βου ἄρχηται, ἐάν τε ἀπὸ τροχαίου, κατὰ τὸ δεδομένον, ἐάν τε ἀπὸ σπονδείου· οἷον τὸ παρ' Εὐφορίωνι τῷ Χερρονησιώτῃ·

Οὐ βέβηλος ὦ τελεταὶ τοῦ νέου Διονύσου,
Κἀγὼ δ' ἐξ εὐεργεσίης ὠργιασμένος ἥκω,
Ὀδμῶν πηλουσιακὸν κνέφαιος παρὰ τέλμα.

ὁμοίως δὲ καὶ ἐπὶ τῶν Γλυκωνείων, τὰ τοιαῦτα σχήματα παραλαμβάνεται· οἷον, ἐν τοῖς Κορίννης,

Καλὰ γέρα εἰσομένα
Ταναγρίδεσσι λευκοπέπλοις.
Μέγα δέ, μὴ γέγαθε πόλις,
Λιγουροκωτίλης ἐνοπῆς. ὧδε καὶ τόδε,
Καὶ πεντηκόντου ὁ εὐψιβίας.

ἔτι δὲ καὶ πλείοσιν αὐτὴ κέχρηται σχήμασι,

Δουράτεος ὡς τ' ἐφ' ἵππῳ κατὰ μὲν βεῖ μούμενοι,
Πόλιν δ' ἐπερσθόμεν,
Περφάλυης Γλυκοῦ δὲ τὶς ἄδων,
Πελέκεσι δὸ νίσται.

Τάχα δὲ καὶ τὸ κωμικόν, τὸ καλούμενον Ἐπιωνικόν, πολυσχημάτιστον συνέθεσαν. μάλιστα δ' ἐν αὐτῷ ἀταξία πολλή, ἡ τοὺς σπονδείους ἐπὶ ἀρτίους χώρας ἔχουσα τῆς ἰαμβικῆς συζυγίας, οἷον τὸ παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει,

Ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ.



Ὡς εὐδαίμων πρότερόν τ' ἦσθα, νῦν δὲ μᾶλλον ἔσῃ.

καὶ τὸ Εὐπολίδειον τοῦτο, τὸ καλούμενον χοριαμβικόν, πολυσχημάτιστόν ἐστιν, ἐν ᾧ τροχαϊκὰς παρὰ τάξιν ποιοῦσι δέχεσθαι τὸν σπονδεῖον· ἐνίοτε δὲ καὶ ἀντισπαστικὸν καθαρὸν ποιοῦσιν· οἷον,

Εὐφράνας ἡμᾶς, ἀποπέμπ' οἴκαδ' ἄγον, ἄγοσε.
Ὁ σώφρων τε χ' ὁ καταπύγων, ἄρισθ' ἡ κυσάτιω.

καὶ τὸ Κρατίνειον δέ, τὸ ἀσυνάρτητον ἐκ χοριαμβικοῦ καὶ τροχαϊκοῦ, πολυσχημάτιστόν ἐστιν. ἀρκέσει τοῦτο δεῖξαι ἡ παράβασις, ἡ ἐν τοῖς Ἀστρατεύτοις Εὐπόλιδος πᾶσα, ἵνα μὴ νῦν μηκύνωμεν, παραδείγματα παρατιθέμενοι. τοσαῦτα περὶ τῶν μέτρων· περὶ δὲ ποιήματος, ἑξῆς.

Πολυσχημάτιστα δὲ καλεῖται, ὅταν παρὰ τοὺς ὡρισμένους τόπους τίθενται οἱ πόδες· οἷον αἱ ἀρτίαι τοῦ ἰάμβου δέχονται σπονδεῖον, ἢ δάκτυλον· ὅταν οὖν τις τῶν κωμικῶν, θείη δάκτυλον ἢ σπονδεῖον, ἐν ταῖς ἀρτίαις τοῦ ἰαμβικοῦ, εἴτ' οὖν ἐν ταῖς περιτταῖς τοῦ τροχαϊκοῦ, τὸ τοιοῦτον λέγεται πολυσχημάτιστον· ἔδει δὲ πάλιν μετὰ τὰ ἀσυνάρτητα, περὶ συγκεχυμένων εἰπεῖν, καὶ ἑξῆς, περὶ ἀπεμφαινόντων· συγκεχυμένον δέ ἐστιν, ὅταν συζυγία τινὶ ἑτέρα συζυγία ἐναντία ἐπιφέρηται· ἀπεμφαίνοντα δέ, ὅταν ἐν τινὶ μέτρῳ, κακῶς, τουτέστι παρὰ τόπον κεῖται πούς, οἷον εἰ ἐν ἰάμβῳ εὑρεθείη ἐν ἀρτίᾳ βάσει σπονδεῖος, ἢ ἐν τροχαίῳ ἐν περιττῇ. τότε γὰρ τοῦ ὅλου μονοειδοῦς ὄντος, μία μόνη χώρα ἐστὶν ἀνώμαλος. Κατ' ἐπιλογισμόν) Κατὰ λόγον τινὰ καὶ κοινωνίαν, καὶ τῶν ποδῶν συγγένειαν. Πλῆθος ἐπιδέχεται σχημάτων) Οἷον κίνησιν χρόνων, καὶ ἐκ τούτων διαφόρων ποδῶν σχέσιν· σχήματα γὰρ ἔλεγον, τὴν ποιὰν τῶν ποδῶν, καὶ τῶν χρόνων σύνθεσιν. Τὸ πριάπειον) Τὸ καθαρὸν πριάπειον, ἀντισπαστικόν ἐστι τετράμετρον ἀκατάληκτον, τὴν δευτέραν ἰαμβικὴν ἔχον, οἷον,

Ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάσμα.

Ἰαμβικὴν τὴν δευτέραν) Ὑπερτιθεμένου γὰρ τοῦ τῆς μακρᾶς χρόνου, ἐν τῷ ἰαμβικῷ, γίνεται χοριαμβικὸν σχῆμα. ὁ γὰρ δίιαμβος, ὑπερθεὶς τὸ ἐν τῇ δευτέρᾳ συλλαβῇ μακρόν, ποιεῖ τὸ χοριαμβικόν. Τοῦ παντὸς μέτρου) Περὶ αὐτοῦ τοῦ πριαπείου ὁ λόγος. ὁ γὰρ προηγούμενος τοῦ πριαπείου ἐστὶν ἀντίσπαστος, ὃς τὸν πρῶτον δισύλλαβον πόδα ἀδιάφορον ἔχων, πάντως τὸν δεύτερον, τροχαῖον αἰτεῖ, ἵνα ἡ τελευταία γένηται βραχεῖα. πάλιν οὖν μακρὰ γινομένη ἡ τελευταία, τὸ σπονδείῳ τὸ σχῆμα τελέσασα, τὸ ἀσυνάρτητον ποιεῖ. Οὐ βέβηλος) Εἰς τὸ Οὐ βέβηλος ἔστι πρῶτον ἀντίσπαστος ἀπὸ τροχαίου ἀρχόμενος· δεύτερον, χορίαμβος· τρίτον, ἀντίσπαστος

ἀπὸ τροχαίου ἀρχόμενος· εἶτα, τέταρτος ἀντίσπαστος καταληκτικὸς παρὰ συλλαβήν, Διονύσου· τὸ δὲ, κἀγὼ, σπονδεῖός ἐστι. Καὶ ἐπὶ τῶν Γλυκωνείων) Τὸ καθαρὸν γλυκώνειον, ἀντισπαστικόν ἐστι, δίμετρον, ἀκατάληκτον, ἔχον ἰαμβικὴν τὴν δευτέραν συζυγίαν· οἷον, Καταπαρὸς ἡνίχ' ὁ μαγνόλης. Καλὰ γέρεια εἰσομένα) Ὁ πρῶτος λέλυται εἰς τρίβραχυν· καὶ ἔστιν ἡ συζυγία, καλὰ γέρεα· εἶτα, εἰσομένα, ὑπάρχει τὸ ἐν τῷ ἰαμβικῷ μακρά, εἰς τὸ χοριαμβικὸν σχῆμα· διὸ γέγονε πολυσχημάτιστον· καὶ τὰ ἑξῆς δὲ ὡσαύτως. Καλὰ γέρεια εἰσομένα, ἀντίσπαστός ἐστιν, ἔχων τὴν μίαν λελυμένην· εἶτα ὁ δεύτερος, χορίαμβος ὁμοίως, ταναγρίδεσσι λευκοπέπλοις· ὁ δὲ τρίτον ἐστὶ, μέγα δὲ, μὴ γέγαθε· καὶ τὸ τέταρτον, λιγουροκωτίλης· καὶ τὸ πέμπτον, τὸ πεντήκοντ' ὁ ὑψιβίας. παραβέβασται δὲ τοῦτο, ἔχον μακρὰν τὴν τελευταίαν, τὸ κόν. τὴν γὰρ πρώτην ἀδιάφορον ἔχει. Λιγουροκωτίλης) Βοιωτική, ἡ τοῦ ο προσθήκη, καὶ βραχεῖα μὲν, ἡ γυ. πάλιν δὲ οἱ πρῶτοι πόδες εἰς τρίβραχυν ἀνελύθησαν· διὸ καὶ πεντασύλλαβοι αἱ πρῶται συζυγίαι εἰσίν, ἀσυνήθως τῷ ἀντισπαστικῷ. ἡ δευτέρα χοριαμβικὴ πολυσχημάτιστον ἐποίησε. Πόλιν δ' ἐπεράθομεν) Καὶ ταῦτα ἀντισπαστικὰ δίμετρα, βραχυκατάληκτα, πολυσχημάτιστα. ὁ γὰρ πρῶτος ἀντίσπαστος, ἀντιστρέψας τὸν τελευταῖον τροχαῖον, πεποίηκε καθαρὸν χορίαμβον, τοῦ πρώτου ὄντος τροχαίου· ἡ δὲ ἀπόθεσις, ἀντισπαστική. τὸ δὲ, πόλιν δ' ἐπεράθομεν, ἀντίσπαστος καθαρὸς, καὶ ἴαμβος, διὰ τὴν ἀδιαφορίαν. τὸ δὲ, περιφανὴς, ἀντίσπαστος, καὶ χορίαμβος, καὶ συλλαβή· τὸ δὲ, πελέκεσσι δονεῖται, ἀντίσπαστος ἔχων λελυμένην τὴν μίαν μακρὰν, καὶ τροχαῖος. Καὶ τὸ κρατίνειον) Τὸ καθαρὸν κρατίνειον τετράμετρόν ἐστι, καταληκτικὸν, ἔχον τὴν πρώτην, χοριαμβικήν· τὴν δευτέραν, ἰαμβικήν· τὴν τρίτην, τροχαϊκήν· τὴν κατακλεῖδα, τροχαϊκήν· καὶ ἐν ταῖς ἰαμβικαῖς τοίνυν καὶ ταῖς τροχαϊκαῖς παρὰ τάξιν τιθέντες τοὺς σπονδείους, πολυσχημάτιστον αὐτὸ ποιοῦσιν, οἷα ἐστὶν ἡ παράβασις ἥδε, Ἄνδρες ἑταῖροι δεῦρ' ἤδη τὴν γνώμην προσίσχετε, ἡ πρώτη, χοριαμβική. ἄνδρες ἑταῖ· ἡ δευτέρα ἰαμβικὴ οὖσα, ἐν τῇ ἀρτίῳ ἔχει τὸν σπονδεῖον, ροι δεῦρ' ἤδη· ἡ τρίτη, τροχαϊκὴ οὖσα, ἐν τῇ περιττῇ, ἔχει τὸν σπονδεῖον, τὴν γνώμην προ· καὶ λοιπὸν ἡ κατακλεὶς τροχαϊκὴ, ἴσχετε. Εἰ δυνατὸν, καὶ μή τι μεῖζον περιττοῦσα τυγχάνει, ὁ πρῶτος χορίαμβος, εἰ δυνατόν· ὁ δεύτερος, ἐν ἰαμβικῇ γνησίῳ, καὶ μή τι μεῖ· ἡ τρίτη, τροχαϊκὴ οὖσα, ἐν τῇ περιττῇ ἔχει τὸν σπονδεῖον, ζον περιττοῦσα· ἡ κατακλεὶς πάλιν τροχαϊκὴ, τυγχάνει. ἑξῆς ὁμοίως ταῖς ἰαμβικαῖς, καὶ ταῖς τροχαϊκαῖς, παρὰ τάξιν ὁ σπονδεῖος ἐποίησε τεθεὶς τὸ πολυσχημάτιστον, ὡς ἤδη εἴρηται αὐτὸ ἐν τῷ συναρτήτῳ.



# ΗΦΑΙΣΤΙΩΝΟΣ ΠΕΡΙ ΜΕΤΡΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ, Η ΠΕΡΙ ΠΟΙΗΜΑΤΟΣ.

ΤΩΝ ποιημάτων, τὰ μέν ἐστι κατὰ στίχον, τὰ δὲ συστηματικά, τὰ δὲ μικτά, τὰ δὲ κοινά. κατὰ στίχον μὲν, ὅσα ὑπὸ τοῦ αὐτοῦ μέτρου καταμετρεῖται, ὡς τὰ Ὁμήρου, καὶ τῶν ἐποποιῶν ἔπη· καταχρηστικῶς δὲ κἂν ὑπὸ κώλου, ἢ κόμματος, ὡς τὸ Καλλιμάχου τοῦτο ποιημάτιον, Ἡ παῖς ἡ κατάκλειστος, τὴν οἱ φασὶ τεκόντες· καταμετρεῖται γὰρ ὑπὸ κόμματος ἀντισπαστικοῦ, καλουμένου Φερεκρατείου. συστηματικὰ δὲ, ὅσα ὑπὸ πλειόνων μέτρων, εἰς ἓν σῶμα παραληφθέντα, καταμετρεῖται, ἢ συμπληροῦται. μικτὰ δὲ, ὅσα μέρος μέν τι ἔχει ὑπὸ στίχου καταμετρούμενον· μέρος δὲ, συστηματικόν. κοινὰ δὲ, ὅσα ὑπὸ συστήματος μὲν, καταμετρεῖται· αὐτὸ δὲ τὸ σύστημα, ἔχει πληρούμενον· οἷά ἐστι τὰ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ Σαπφοῦς, ἐν οἷς καταμετρεῖται μὲν ὑπὸ διστιχίας· αὕτη δὲ ἡ διστιχία, ὁμοία ἐστὶ κατὰ σχέσιν. ἃ δὲ ἀπολελυμένα, τὰ μὲν ἐξ ὁμοίων, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ μικτά, τὰ δὲ κοινά. κατὰ σχέσιν μέν ἐστιν, ὅσα μετρεῖται ὑπὸ συστήματος· καλεῖται δὲ οὕτω, διὰ τὸ ἔχειν τινὰ πρὸς ἄλληλα σχέσιν τὰ ἐν τῷ ποιήματι συστήματα, ἐν τῷ καταμετρεῖσθαι. ἐξ ὁμοίων δὲ, ὅσα ἐκ τοῦ αὐτοῦ ποδός ἐστιν, ἢ τῆς αὐτῆς συζυγίας, ἢ τῆς αὐτῆς περιόδου ἀρχῆς, οὔτε ὑπὸ στίχου, οὔτε ὑπὸ συστήματος καταμετρούμενα. μετρικὰ δὲ ἄτακτα, ὅσα ἐκ μέτρων μὲν ὁμολογουμένων συνέστηκε, τάξιν δὲ καὶ ἀνακύκλησιν οὐκ ἔχει, οὔτε κατὰ στίχον, οὔτε κατὰ συστήματα, οἷός ἐστιν ὁ

Μαργίτης, ὁ εἰς Ὅμηρον ἀναφερόμενος, ἐν ᾧ παρέσπαρται τοῖς ἔπεσιν, ἰαμβικὰ καὶ ταῦτα οὐ κατ' ἴσον σύστημα. τοιοῦτόν ἐστι καὶ τὸ Σιμωνίδου ἐπίγραμμα,

Ἴσθμια, δὶς νέμεα, δὶς ὀλύμπια ἐστεφανώθην·
Οὐ πλάτει νικῶν σώματος, ἀλλὰ τέχνᾳ
Ἀριστοδάμας θρασὺς, ἄλφος πάλᾳ.

μικτὰ δὲ, ὅσα μέρος μέν τι ἔχει κατὰ σχέσιν· μέρος δέ τι ἀπολελυμένων, ἢ ἐξ ὁμοίων. κοινὰ δὲ, ὅσα καθ' ἑτέραν μὲν ἰδέαν γέγραπται τοῦ συστήματος· δύναται δὲ καὶ καθ' ἑτέραν γεγράφθαι δοκεῖν· οἷον, φέρ' εἰπεῖν, ἐξ ὁμοίων ὄντα, κατὰ σχέσιν δοκεῖν γεγράφθαι. τούτων μὲν δὴ ταῦτα. πάλιν δὲ ἕκαστα τῶν προειρημένων ὑποδιαιρετέον. τῶν γὰρ κατὰ σχέσιν, τὰ μέν ἐστι μονοστροφικά, τὰ δὲ ἐπῳδικά, τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ, τὰ δὲ ἀντιθετικά, τὰ δὲ μικτὰ κατὰ σχέσιν, τὰ δὲ κοινὰ κατὰ σχέσιν.

Τὰ μὲν οὖν μονοστροφικά εἰσιν, ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται. τὰ δὲ, ἐπῳδικὰ καλεῖται. * ἐὰν δ' ἐν τῇ προτέρῃ, προῳδικά· ἐὰν δὲ ἐν μέσῃ, μεσῳδικά. ταῦτα μὲν οὖν, τὰ ἐν διαστάσιν ὁρᾶται· ἐὰν δή ποτ' ἐξ ἐπάγῃ τὴν τριάδα, γίνονται καὶ ἄλλαι ἰδέαι δύο. ἤτοι γὰρ περιῳδικά ἐστιν, ὅταν αἱ μὲν ἑκατέρωθεν ἀνόμοιαι ὦσιν, ἀλλήλαις μὲν ὅμοιαι, ταῖς δὲ περιεχούσαις ἀνόμοιαι· ἢ παλινῳδικά, ὅταν αἱ ἑκατέρωθεν ἀλλήλαις μελοποιίαι ὅμοιαι ὦσι, καὶ αἱ ἐν μέσῳ, ταῖς περιεχούσαις ἀνόμοιαι. τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ, τὰς περικοπὰς ὁμοίας ἀλλήλαις ἔχει· τὰς δὲ ἐν ταῖς περικοπαῖς περιόδους, ἀνομοίους· καλεῖται δὲ, τὰ μὲν δυαδικά, ὅσα δύο τὰς ἐν τῇ περικοπῇ περιόδους ἔχει· τὰ δὲ τριαδικά, ὅσα τρεῖς· τὰ δὲ τετραδικά, ὅσα τέσσαρας· καὶ ἐπὶ τῶν ἑξῆς κατὰ τὸν αὐτὸν λόγον. ἀντιθετικὰ δὲ, ὅσα κατὰ θέσιν μὲν γέγραπται, οὐ μέντοι κατὰ τὴν αὐτὴν τάξιν παραβάλλεται ἀλλή-

λοις



λοις τὰ ἀντιστρέφοντα· ἀλλὰ τὸ πρῶτον ἀπὸ τοῦ τέλους, τῷ πρώτῳ παραβάλλεται τῷ ἀπὸ τῆς ἀρχῆς· καὶ τὸ δεύτερον ἀπὸ τέλους, τῷ δευτέρῳ τῷ ἀπ' ἀρχῆς· τὸ δὲ τρίτον ἀπὸ τέλους, τῷ τρίτῳ· καὶ ἐπὶ τῶν λοιπῶν, οὕτω. ταύτης δὲ τῆς ἰδέας ἐστὶ, τὸ ᾠὸν τοῦ Σιμμίου καὶ ἄλλα παίγνια. μικτὰ δὲ κατὰ σχέσιν εἰσὶν, ὅσα ἐκ μέτρων ἐστὶν, ἐκ πλειόνων μὲν κατὰ σχέσιν, ὁμοίως δὲ ἀλλήλοις κατὰ τὴν ἰδέαν, ἐκ τε ἐπῳδικῶν, καὶ μονοστροφικῶν, ἢ κατὰ περικοπήν. κοινὰ δέ ἐστι κατὰ σχέσιν, ὅσα καθ' ἑτέραν μὲν ἰδέαν τῶν κατὰ σχέσιν γέγραπται, δύναται δὲ καὶ καθ' ἑτέραν γεγράφθαι δοκεῖν, οἷον εἰ μονοστροφικῶς γραφὲν, δύναται τοῦτο καὶ ἐπῳδικῶς γεγράφθαι δοκεῖν.

## ΤΟΥ ΑΥΤΟΥ ΗΦΑΙΣΤΙΩΝΟΣ ΣΑΦΕστέρα διδασκαλία περὶ μετρικῆς εἰσαγωγῆς, ἢ περὶ ποιήματος.

ΣΤΙΧΟΣ ἐστὶ ποσὸν μέγεθος μέτρου, ὅπερ οὔτε ἔλαττόν ἐστι τριῶν συζυγιῶν, οὔτε μεῖζον τεσσάρων. τὸ δὲ ἔλαττον ὂν δύο συζυγιῶν, ἐὰν μὲν πλήρεις ἔχῃ τὰς συζυγίας, ἀκατάληκτόν ἐστι, καὶ καλεῖται κῶλον· ἐὰν δὲ ἐλλείπῃ, κόμμα. σύστημα δέ ἐστι μέτρων συναγωγὴ, ἤτοι δύο ἢ πλειόνων, ἢ ὁμοίων ἢ ἀνομοίων. ἀνομοίων μὲν, ὡς τὰ ἐλεγεῖα· ἑξαμέτρου γάρ ἐστι πρὸς πεντάμετρον κοινωνία· καὶ οἱ ἐπῳδοί. τὸ δὲ ἐξ ὁμοίων, ὡς τὸ δεύτερον Σαπφοῦς, ὡς προϊόντες δείξομεν. ὄντων δὴ τούτων τῶν ἀνωτάτω γενῶν, κατὰ τὴν τούτων μίξιν ὑφίσταται, τά τε μικτὰ, γενικὰ προσαγορευόμενα, καὶ τὰ κοινὰ συστηματικά· καὶ μικτὰ μὲν γενικά, ὡς αἱ τραγῳδίαι, καὶ αἱ παλαιαὶ κωμῳδίαι. μέρος μὲν γὰρ τούτων γέγραπται κατὰ στίχον, μέρος δὲ κατὰ σύστημα. κοινὰ δὲ συστηματικά, ἅπερ καὶ ὁ κατὰ στίχον γεγράφθαι φάσκων, ὑγιῶς ἂν λέγοι, καὶ ὁ κατὰ σύστημα· ὡς τὸ δεύτερον καὶ τρίτον Σαπφοῦς. ἐγὼ μὲν γὰρ τὸ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις κατὰ δύο ὁρῶν παραγε-

γεγραμμένον ἕκαστον ᾆσμα, καὶ ἔτι διὰ τὸ μηδὲν εὑρίσκεσθαι ἀριθμοῦ περιττοῦ, κατὰ σύστημα νομίζομεν αὐτὰ γεγράφθαι· πάλιν δέ, τῷ ὅμοιον ἑκάτερον εἶναι τῶν ἐν τῇ δυάδι στίχων, καὶ τῷ δύνασθαι τὴν ποίησιν, κατὰ τύχην τινά, ἀρτίου πάντα ἀριθμοῦ πεποιηκέναι, φαίη τις ἂν κατὰ στίχον αὐτὰ γεγράφθαι. δεδειγμένου δὲ ἡμῖν, τί τέ ἐστι στίχος, καὶ τί κόμμα, καὶ τί κῶλον, καὶ τί σύστημα, ὅμως παρέντες ἡμεῖς τὴν τοιαύτην ἀκριβολογίαν, καὶ ταῦτα καίπερ κατὰ κόμμα γεγραμμένα, κατὰ στίχον γεγράφθαι φαμέν.

» Ἡ παῖς ἡ κα | τάκλειστος, Τὴν οἱ φασὶ | τεκόντες.

» Εὐναίοις ὁ | ἀεισμοῖς, Ἐχλίνισον | ὀλέθρῳ.

τῶν δὲ κατὰ στίχον, τὰ μέν ἐστι μικτά, τὰ δὲ οὔ. καὶ μικτὰ μέν, ὡς αἱ Μενάνδρου κωμῳδίαι. πῇ μὲν γὰρ τετράμετρα ἐν τῷ αὐτῷ ποιήματι· πῇ δὲ τρίμετρα εὑρίσκεται· τὰ δὲ ἄμικτα, ὡς αἱ τοῦ Ὁμήρου ῥαψῳδίαι. τῶν δὲ κατὰ σύστημα γεγραμμένων, τὰ μέν ἐστι κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μικτὰ συστηματικά, τὰ δὲ κοινὰ συστηματικά, περὶ ὧν ἐροῦμεν. κατὰ σχέσιν μὲν οὖν ἐστιν, ἃ δουλεύων ἀνταποδόσει καὶ ἀνακυκλήσει ὁ ποιητὴς γράφει· ἀπολελυμένα δέ, ἃ εἰκῇ γέγραπται, καὶ ἄνευ μέτρου ὡρισμένου· οἷοί εἰσιν οἱ νόμοι οἱ κιθαρῳδικοὶ Τιμοθέου. μετρικὰ δὲ ἄτακτά ἐστιν, ἅπερ μέτρῳ μὲν γέγραπταί τινι, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα, οὔτε ἀνακύκλησιν· οἷόν ἐστι τὸ τοῦ Σιμωνίδου ἐπίγραμμα·

» Ἴσθμια | δὶς νεμέ | ᾳ, δὶς ὀ | λύμπια | ἐστέφα | νώθην.

» Οὐ πλά | τει νι | κῶν σώματος, | ἀλλὰ τέ | χνᾳ,

» Ἀριστό | δημος θρα | σὺς ἀ | λεῖος | πάλᾳ.



τοιοῦτός ἐστι καὶ ὁ Μαργίτης Ὁμήρου. οὐ γὰρ τεταγμένῳ ἀριθμῷ ἐπῶν τὸ ἰαμβικὸν ἐπιφέρεται· ἐξ ὁμοίων δέ ἐστιν, ἅπερ ὑπὸ ποδός, ἢ συζυγίας, ἢ περιόδου καταμετρεῖται ἄνευ ἀριθμοῦ τινὸς ὡρισμένου· ὡς ἐὰν τεταγμένος ἀριθμὸς ᾖ, οὐκ ἔστιν ἐξ ὁμοίων, ἀλλὰ κατὰ σχέσιν, ὡς ἐν τῷ πρώτῳ Ἀλκαίου ᾄσματι, οὗ ἡ ἀρχή,

» Ἐμὲ δειλὰν | ἐμὲ πασᾶν | κακοτάτων | πεδέχοισαν.

ἄπειρος μὲν γὰρ ὤν τις, φήσειεν ἂν αὐτὸ ἐξ ὁμοίων εἶναι, ἐξ ἰωνικῆς ἀπ' ἐλάσσονος συζυγίας καταμετρούμενον· ἡμεῖς δέ, ἐπεὶ κατὰ δέκα ὁρῶμεν αὐτὸ συζυγίας γεγραμμένον, κατὰ σχέσιν αὐτὸ γεγράφθαι φαμέν. διόπερ καὶ τὰ μονοστροφικὰ ᾄσματα, δέκα ὄντα συζυγιῶν, οὕτω πεποιῆσθαι νομίζομεν. ἔστι δὲ τινὰ τὰ ἐξ ὁμοίων οὕτω πεποιημένα, οἷα τὰ Ἑρμείου, παιωνικὰ ὄντα·

» Ἐπ' ἀμύδις | τριάκοντα | βασιλῆας | χέδον. καὶ τὰ ἑξῆς.

## ΠΕΡΙ ΜΙΚΤΩΝ ΣΥΣΤΗΜΑΤΙΚΩΝ ΚΑΙ ΚΟΙΝΩΝ ΣΥΣΤΗΜΑΤΙΚΩΝ.

ΥΠΟΛΕΙΠΕΤΑΙ δὲ ἡμῖν, περί τε τῶν καταμίκτων συστηματικῶν εἰπεῖν, καὶ τῶν κοινῶν συστηματικῶν. λέγομεν τοίνυν, ὅτι μικτὰ μέν ἐστι συστηματικά, ὥσπερ εἴ τις τὴν πρώτην ᾠδὴν ἐν τῷ πρώτῳ Ἀλκαίου, καὶ τὴν δευτέραν συνάψειε, συστηματικῆς οὔσης αὐτῶν ἑκατέρας· κοινὰ δέ ἐστι συστηματικά, τὰ δυὸ εἴδεσιν ὑποπεπτωκότα· οἷον συμβέβηκεν ἐπὶ τοῦ, Ἐμὲ δειλὰν ἐμὲ πασᾶν κακοτάτων. ἄπειρος μὲν γὰρ ὤν τις τῆς ποιητοῦ προθέσεως, ἐξ ὁμοίων φήσειεν ἂν εἶναι τὸ ᾆσμα· ὁ δὲ ἔμπειρος, κατὰ σχέσιν, ὡς ἐν τοῖς ἔμπροσθεν ἐπεδείξαμεν. τῶν δὲ κατὰ σχέσιν, τὰ μέν ἐστι μονοστροφικά, τὰ δὲ ἐπῳδικά, τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομε-

ρῆ, τὰ δὲ ἀντιθετικά, τὰ δὲ μικτὰ κατὰ σχέσιν, τὰ δὲ κοινὰ κατὰ σχέσιν. μονοστροφικὰ μὲν οὖν εἰσιν, ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται, καθάπερ τὰ Ἀλκαίου, καὶ τὰ Σαπφοῦς, καὶ ἔτι τὰ Ἀνακρέοντος. ἐπῳδικὰ δέ ἐστιν ἐν οἷς συστήμασιν ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται. τοῦ δὲ ἐπῳδικοῦ γένους, τὰ μέν ἐστιν ὁμωνύμως αὐτῷ καλούμενα ἐπῳδικά· ἐπῳδικὰ δέ ἐστιν, ἐν οἷς συστήμασιν ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται, δηλονότι, ἐπ' ἔλαττον μέντοι τοῦ τῶν τριῶν ἀριθμοῦ, οὐκ ἂν γένοιτο τοιοῦτον· ἐπὶ πλεῖον δέ, οὐδὲν αὐτὸ κωλύει ἐκτείνεσθαι. γίνεται γάρ, ὥσπερ τριὰς ἐπῳδική, οὕτω καὶ τετρὰς, καὶ πεντὰς, καὶ ἐπὶ πλεῖον, ὡς τά γε πλεῖστα Πινδάρου καὶ Σιμωνίδου πεποίηται. προῳδικὰ δέ ἐστιν, ἐν οἷς τὸ ἀνόμοιον προτέτακται τῶν ὁμοίων. μεσῳδικὰ δέ, ἐν οἷς περιέχει μὲν τὰ ὅμοια, μέσον δὲ τὸ ἀνόμοιον τέτακται· παλινῳδικὰ δέ, ἐν οἷς τὰ μὲν περιέχοντα ἀλλήλοις ἐστὶν ὅμοια, ἀνόμοια δὲ τοῖς περιεχομένοις· τὰ δὲ περιεχόμενα ἀλλήλοις μὲν ὅμοιά εἰσιν, ἀνόμοια δὲ τοῖς περιέχουσι· περιῳδικὰ δέ, ἐν οἷς τὰ μὲν περιεχόμενα ἀλλήλοις ἐστὶν ὅμοια, τὰ δὲ περιέχοντα οὔτε ἀλλήλοις, οὔτε τοῖς περιεχομένοις. κατὰ περικοπὴν δέ ἐστιν ἀνομοιομερῆ, ὁπόταν ἐκθέμενος ὁ ποιητὴς ὁπόσα δήποτε συστήματα διάφορα ἐπαγάγῃ ἐκ τῶν αὐτῶν συστημάτων συνεστῶσαν περικοπήν· ὥστε τὰ μὲν ἐν ἑκατέρᾳ, ἢ ἑκάστῃ περικοπῇ συστήματα, ἀνόμοια εἶναι ἀλλήλοις· τὰς δὲ περικοπὰς ἀμφοτέρας ἀλλήλαις ὁμοίας, ἢ πάσας. ἀντιθετικὰ δέ ἐστιν, ὁπόταν ὁ ποιητὴς γράφῃ ὁπόσα δήποτε κῶλα, ὡς ἀνόμοια, καὶ ὡς βούλεται· εἶτα τούτων ἀνταποδῷ, τῷ μὲν τελευταίῳ τὸ πρῶτον, τῷ δὲ δευτέρῳ ἀπὸ τέλους τὸ δεύτερον, καὶ οὕτω πάντα κατὰ τὸν αὐτὸν λόγον. τοῦτο δὲ τὸ εἶδος, παρὰ μὲν τοῖς παλαιοῖς, ἀσημιώτατόν ἐστι, παρὰ δὲ Σιμμίᾳ τῷ Ῥοδίῳ ἐστὶν οὕτω πεποιημένα, ἐν τῷ ἐπιγεγραμμένῳ Ὠῷ. μικτὸν δέ ἐστι κατὰ σχέσιν



ποίημα, ἐν ᾧ ἐστὶ μέρη τινά, ἅπερ ἔφαμεν εἶναι, τοῦ κατὰ σχέσιν εἴδους, οἷον, λόγου χάριν, τό, τε ἐπῳδικόν, καὶ τὸ μεσῳδικόν. κοινὸν δέ ἐστι κατὰ σχέσιν, τὸ δύο συστήμασιν ὑποπεπτωκός, καθάπερ τὸ α, Ἀνακρέοντος ᾆσμα,

Γουνοῦμαί σ' ἐλαφηβόλε, Ξανθὴ παῖ Διός, ἀγρίων
Δέσποιν' Ἄρτεμι θηρῶν,

καὶ τὰ ἑξῆς. κατὰ μὲν γὰρ τὴν νῦν ἔκδοσιν, ὀκτάκωλός ἐστιν ἡ στροφή, καὶ τὸ ᾆσμά ἐστι μονοστροφικόν· δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι, εἰς τε τριάδα, καὶ πεντάδα, ἡ στροφή· ὥστε Φερεκράτειον εἶναι τὸ τελευταῖον τοῦ συστήματος, τοῦ ἐκ τῶν τριῶν κώλων, ἢ τῶν πέντε. Δεδειγμένου δὴ ἡμῖν, τίνα ἐστὶ τὰ ἀπολελυμένα, φαμὲν εἶναι εἴδη τούτων, τά τε ἄστροφα, καὶ τὰ ἀνομοιόστροφα, καὶ ἄτμητα. ἄστροφα μὲν οὖν ἐστι, τὰ τηλικούτου μεγέθους ὄντα ἐπ' ἐλάχιστον, ὡς μηδὲ στροφῆς ὅλης εἶναι αὐτὰ ὑπονοητικά. ἀνομοιόστροφα δέ ἐστιν, ὅσα πάντως διαιρεῖται, ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν, ἢ κατὰ ἐφύμνιον, ἢ κατὰ ἐπῳδόν, ἢ κατὰ ἄλλο τι ἐπιφώνημα. διαιρεῖται δέ, ἤτοι εἰς δύο, ἢ εἰς πλείω. ἐὰν μὲν οὖν εἰς δύο διαιρεθῇ, καλεῖται ἑτερόστροφον· ἐὰν δὲ εἰς πλείονα, ἀλλοιόστροφον. ἄτμητα δέ ἐστι, τὰ τηλικαῦτα, ὥστε δύνασθαι μὲν τέμνεσθαι, μὴ μέντοι τὸ τεκμήριον ὑπάρχειν τοῦ τὸν ποιητὴν αὐτὰ τετμηκέναι, μήτε βραχυκαταληξίαν, μήτε τὸ ἕτερον τῶν διαιρούντων τὰ ποιήματα, οἷον ἐφύμνιον, ἢ ἀναφώνημα. τῶν δὲ ἐξ ὁμοίων, τὰ μέν ἐστιν ἀπεριόριστα, τὰ δὲ κατὰ περιορισμοὺς ἀνίσους. ἀπεριόριστα μέν, ὁπόσα ἀπὸ τοῦ αὐτοῦ ποδός, ἢ τῆς αὐτῆς συζυγίας καταμετρούμενα, ἢ περιόδου, περιγραφὴν οὐδεμίαν ἔχει μεταξύ, ἀλλὰ μέχρι τῆς τελευταίας ὅμοιά ἐστι. κατὰ περιορισμοὺς δὲ ἀνίσους ἐστίν, ὁπόσα ἐξ ὁμοίων συνεστῶτα ἔχει κατάληξιν, ἢ βραχυκαταληξίαν μεταξύ, οὐ μέντοι ἴσοις μεγέθεσι. ταύτην ἐπιζευγνυμένην ἀεί, οἷον μάλιστα φιλεῖ γίνεσθαι ἐν ταῖς παρόδοις τῶν χορῶν.

ἐκεῖ γὰρ μετὰ δέκα ἀναπαιστικὰ λόγου χάριν, καὶ κατάληξιν, ἐπάγουσιν εὐθὺς ὅμοια μὲν, καὶ ἀναπαιστικὰ, οὐ μέντοι τῶν ἴσων συζυγιῶν. ἔστι δέ τινα ἐν τοῖς ποιήμασι καὶ τὰ καλούμενα ἐφύμνια, ἀπὸ ταύτης τῆς προσηγορίας τετύχηκεν, ἐπειδὴ καὶ ἐφύμνιόν τι εἰώθασιν ἐπάγειν οἱ ποιηταὶ ταῖς στροφαῖς. οἷά ἐστι καὶ τὰ τοιαῦτα, Ἰήϊε παιὰν, καὶ, Ὦ διθύραμβε. ὅταν δὲ τὸ ἐφύμνιον μὴ μετὰ στροφὴν, ἀλλὰ μετὰ στίχον κέηται, παραλαμβανόμενον ἀνὰ στίχον, μεσύμνιον καλεῖται τὸ ποίημα. οἷόν ἐστι τὸ παρὰ Σαπφοῖ,

» Ὕψοι δὴ τὸ μέλαθρον, Ὑμήναον,
» Ἀείρατε τέκτονες ἄνδρες, Ὑμήναον,
» Γαμβρὸς ἔρχεται ἴσος Ἄρεϊ.

εἰσὶ δὲ ἐν τοῖς ποιήμασι καὶ οἱ ἀρρενικῶς οὕτω καλούμενοι ἐπῳδοί, ὅταν μεγάλῳ στίχῳ περιττόν τι ἐπιφέρηται, οἷον,

» Πάτερ Λυκάμβα. ποῖον ἐφράσω τόδε,
» Τίς σὰς παρήειρε φρένας. καὶ ἔτι,
» Εὖτοι πρὸς ἄεθλα δῆμος ἠθροίζετο.
» Ἐν δὲ Βατουσιάδης.

ὅταν δὲ ἔμπαλιν ἡ τάξις ᾖ, προῳδὸς καλεῖται, ὡς Ἀνακρέοντι,

» Ἀρθεὶς δηὖτ᾽ ἀπὸ λευκάδος πέτρης,
» Ἐς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.

ὥσπερ δὲ ταῦτα εὑρίσκεται, οὕτω γένοιντο ἄν τινες καὶ μεσῳδοί, ὅταν περιέχῃ μὲν τι μεῖζον, μεταξὺ δὲ τὸ μεῖον ᾖ τεταγμένον. ἔστι δέ τινα, καὶ τὰ καλούμενα ἐπιφθεγματικά, ἃ διαφέρει ταύτῃ τῶν ἐφυμνίων, ὅτι τὰ μὲν ἐφύμνια καὶ πρὸς νοῦν συντελεῖ. τὰ δὲ ἐπιφθεγματικά, καὶ ἐκ περιττοῦ ὡς πρὸς τὸ λεγόμενον τῇ στροφῇ πρόσκειται. οἷον καὶ τὸ Βακχυλίδου,

» Ἢ καλὸς Θεόκριτος, οὐ μόνος ἀνθρώπων ὁρᾷς.

καὶ πάλιν παρὰ τῷ αὐτῷ Βακχυλίδῃ,



» Σὺ δ᾽ ἐν χιτῶνι μόνῳ, παρὰ τὰν φίλαν γυναῖκα φεύγεις.

ὅταν μὲν οὖν βραχέα ᾖ τὰ ἐπιφθεγματικά, τοῦτο ποιήσουσιν αὐτοῖς μόνον. ἐὰν δὲ καὶ τηλικαῦτα, ὥστε στροφὴν ἐκπληροῦν, καὶ περιττεύεσθαι μὲν τὴν τοῦ ποιητοῦ στροφὴν, ἐπεζεῦχθαι δὲ, τὴν τῶν ἐπιφθεγμάτων. εἶτα πάλιν, τὰ ἴσα κατὰ τὸν αὐτὸν λόγον, ἔσται τὸ τοιοῦτον σύστημα κατὰ περικοπὴν ἀνομοιομερές. ἔστι δέ τις ἐν ταῖς κωμῳδίαις καὶ ἡ καλουμένη παράβασις, ἥτις, ἐὰν τελεία γράφηται, ἔστιν αὐτῆς εἴδη ἑπτά. καλεῖται δὲ παράβασις, ἐπειδὴ εἰσελθόντες εἰς τὸ θέατρον, καὶ ἀντιπρόσωποι ἀλλήλοις στάντες οἱ χορευταὶ παρέβαινον. καὶ εἰς τὸ θέατρον ἀποβλέποντες, ἔλεγόν τινα. τὰ δὲ εἴδη τῆς παραβάσεώς εἰσι ταῦτα, κομμάτιον, ὃ καὶ παρὰ τοῖς παλαιοῖς ποιηταῖς ὠνομάσθη. φησὶ γὰρ ὁ Εὔπολις, Εἰωθὸς τὸ κομμάτιον οὕτω. δεύτερον δὲ εἶδός ἐστιν, ἡ ὁμωνύμως τῷ γένει καλουμένη παράβασις. καὶ τρίτον, τὸ μακρὸν προσαγορευόμενον, ὃ καὶ φαμὲν εἶναι ἐπιμηκέστερον οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ ἀπνευστὶ λέγεσθαι, ἐδόκει εἶναι μακρότερον. ταῦτα μὲν οὖν ἐστιν ἀπολελυμένα. ἕτερα δέ ἐστι τὰ κατὰ σχέσιν γεγραμμένα, τό, τε μέλος, καὶ τὸ ἐπίρρημα, ὅπερ ὡς ἐπὶ τὸ πλεῖστον ις ἦν στίχων, καὶ τῷ μέλει ἀντίστροφον καὶ τὸ καλούμενον ἀντεπίρρημα, ὅπερ ἦν τῶν ἴσων κώλων τῷ ἐπιρρήματι.

Στίχος ἐστί) Ἰστέον ὅτι τὸ μέν ἐστι μετροῦν, ὡς ἡ συλλαβή· τὸ δὲ μετροῦν καὶ μετρούμενον, ὡς οἱ πόδες. μετρεῖται μὲν γὰρ ὑπὸ τῆς συλλαβῆς πᾶς πούς· μετρεῖ δ᾽ αὐτὸς τὰ μέτρα. τὸ δὲ μετρούμενόν ἐστι, ὡς τὰ ποιήματα. διαλαβὼν οὖν ὁ τεχνικὸς περὶ μόνου μετροῦντος, καὶ μετροῦντος καὶ μετρουμένου, νῦν περὶ μόνου μετρουμένου διδάσκει, ὅ ἐστι περὶ ποιήματος. Ἑξαμέτρου πρὸς πεντ.) Τὸ ἑξάμετρον καὶ τὸ ἐλεγεῖον, ἐκ ποσοῦ ἔχουσι τὴν διαφοράν. Τὸ δὲ ἐξ ὁμοίων) Ἀνόμοιοι δέ εἰσιν, ὅταν οἱ μὲν σύγκεινται ἐξ ἀναπαιστικῶν, οἱ δὲ, εἰ τύχοι, ἐκ χοριαμβικῶν· ὡς αἱ τραγῳδίαι, ἃ μὲν αὐτῶν τοῖς ἰαμβικοῖς ἔχει στίχοις· ἃ δὲ χορικά, τὰ ἐκ κώλων συγκείμενα. Κοινὰ δὲ συστηματικά) Συστηματικὰ γὰρ ἂν εἴη, κοινωνοῦντα τοῖς κατὰ στίχον. διὰ μὲν γὰρ τὸ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις, κατὰ δύο ὁρᾶν παραγεγραμμένα, ὥσπερ ἐν περιορισμῷ, συστήματα· προσέτι καὶ διὰ τὸ μηδὲν εὑρίσκεσθαι ἀριθμοῦ περιττοῦ ἐν ταύτῃ, ὥσπερ εἰ πλὴ

ζυγιῶν) Οἷον τῶν ἰσοκώλων, ἐπεὶ γίνεται κατὰ σχέσιν μέχρι δὲ τῆς ἐνταῦθα διαίρεσις. Τὰ καλούμενα ἐφύμνια ταῦτα, καὶ τὰ μέτρα διαιρεῖν εἰώθασι. μὴ κατὰ στροφὴν δὲ, μεταξὺ δύο στίχων, ὡς τὰ μεσῳδικά, ὑπὸ τῆς ἐπῳδοῦ. μεγάλῳ στίχῳ, ἀντισπαστικῷ ἢ ἀναπαιστικῷ. Πάτερ Λυκάμβα) περιέπεκται γὰρ ὁ ἐπῳδός. ἀντισπαστικὰ γάρ εἰσιν· δηλ. τὸ μὲν ἡγούμενον, δίμετρον ἀκατάληκτον· τὸ δὲ ἑπόμενον, τετράμετρον ἀκατάληκτον· Οταν δὲ ἔμπαλ) δηλ. ὅταν τὸ βραχὺ περιτάττηται. Οταν περιέχῃ μέντοι) Ως τὰ μεσῳδικά, καὶ τὰ ἐφύμνια. διαφόρως ταῦτα τὰ ἐφύμνια συνέχειαν φυλάττουσι, πρὸς τὰς στροφάς, τὰ δὲ ἐπιφθέγματα, οὔ.

## ΠΕΡΙ ΣΗΜΕΙΩΝ.

ΤΑ σημεῖα τὰ παρὰ τοῖς ποιηταῖς, ἄλλως παρ᾽ ἄλλοις κεῖται. λέγω δὲ ὁποῖά ἐστιν, ἥτε παράγραφος —, καὶ ἡ κορωνὶς ⸏, καὶ ἡ ἔξω νενευκυῖα διπλῆ <, καὶ ἡ ἔσω >, καὶ ὁ ἀστερίσκος ⁜, καὶ εἴ τι ἄλλο τοιοῦτον. παρὰ μὲν τοῖς λυρικοῖς, ἐὰν μὲν μονόστροφον τὸ ᾆσμα ᾖ, καθ᾽ ἑκάστην τίθεται στροφὴν ἡ παράγραφος· εἶτα ἐπὶ τέλους τοῦ ᾄσματος, ἡ κορωνίς. ἐὰν δὲ κατὰ περικοπὴν τὰ ᾄσματα ᾖ γεγραμμένα, ὥστε εἶναι στροφὴν, καὶ ἀντίστροφον, καὶ ἐπῳδόν, ἡ παράγραφος· ἐπὶ δὲ τῇ ἐπῳδῷ, ἡ κορωνίς, καὶ οὕτως ἡ παράγραφος, ἣ διαιρεῖ τά τε ὅμοια, καὶ τὰ ἀνόμοια. ἐπὶ μέντοι τῷ τέλει, ὁ ἀστερίσκος τίθεται γνώρισμα τοῦ τετελέσθαι τὸ ᾆσμα. ἐπεὶ ἡ κορωνὶς ἐπὶ πασῶν τίθεται τῶν ἐπῳδῶν. καὶ μάλιστα εἴωθεν ὁ ἀστερίσκος τίθεσθαι, ἐὰν ἑτερόμετρον ᾖ τὸ ᾆσμα τὸ ἑξῆς. ὁ καὶ μᾶλλον ἐπὶ τῶν ποιημάτων τῶν μονοστροφικῶν γίνεται, Σαπφοῦς τε καὶ Ἀνακρέοντος, καὶ Ἀλκαίου· ἐπὶ δὲ τοῦ Ἀλκαίου, ἰδίως κατὰ μὲν τὴν ἀριστοφάνειον ἔκδοσιν ὁ ἀστερίσκος ἐπὶ ἑτερομετρίας ἐτίθετο μόνης· κατὰ δὲ τὴν ἀριστάρχειον, καὶ ἐπὶ ποιημάτων μεταβολῆς. ἡ δὲ διπλῆ ἔξω βλέπουσα, παρὰ μὲν τοῖς κωμικοῖς καὶ τραγικοῖς, πολλή· παρὰ δὲ τοῖς λυρικοῖς, σπανία. καὶ παρὰ Ἀλκμᾶνι γοῦν εὑρίσκεται· ἔγραψε γὰρ ἐκεῖνος δεκατεσσάρων στροφῶν ᾄσματα, ὧν τὸ μὲν ἥμισυ τοῦ αὐτοῦ μέτρου ἐποίησεν ἑπτάστροφον, τὸ δὲ ἥμισυ, ἑτέρου· καὶ διὰ τοῦτο ἐπὶ ταῖς ἑπτὰ στροφαῖς ταῖς ἑτέραις,



τίθεται ἡ διπλῆ, σημαίνουσα τὸ μεταβολικῶς τὸ ᾆσμα γεγράφθαι. τούτοις τοῖς σημείοις τοῖς προειρημένοις, πλὴν τοῦ ἀστερίσκου, καὶ ἑτέροις τισί, περὶ ὧν λέξομεν, ἐν τοῖς δράμασι χρώμεθα. τῇ μὲν οὖν κορωνίδι, κατὰ τρόπους τρεῖς· ἤτοι ὅταν τῶν ὑποκριτῶν εἰπόντων τινά, καὶ ἀπαλλαγέντων, καταλείπεται ὁ χορός· ἢ ἔμπαλιν· ἢ ὅταν μετάβασις ἀπὸ τοῦ τόπου εἰς τόπον γίνεσθαι δοκῇ τῆς σκηνῆς. τῇ δὲ παραγράφῳ, ἤτοι κατὰ πρόσωπα ἀμοιβαῖα, ἔν τε τοῖς ἰαμβικοῖς, καὶ τοῖς χορικοῖς, μεταξὺ τῆς τε στροφῆς, καὶ ἀντιστρόφου· ἐὰν μέντοι ἡ στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη, οὐκ ἐξαρκεῖ πρὸς τὸ δηλῶσαι ὅτι πεπλήρωται ἡ στροφή, ἡ παράγραφος, ἐπιφερομένης ἄλλης στροφῆς· ἐπεὶ καὶ ἐφ᾽ ἑκάστου κώλου οὐδὲν ἧττον τίθεται, ἀλλὰ κεῖται καὶ ἡ ἔσω νενευκυῖα διπλῆ, τοῦτο δέ, ἐὰν ἀντίστροφος ἐπιφέρηται· ὡς ἐάν γε μεταβολὴ μόνον ᾖ στροφῆς, ἡ ἔξω βλέπουσα τίθεται. εἰπόντων δὲ ὑμῶν ὅτι ἔσται τινὰ κατὰ περιορισμοὺς ἀνίσους ἀναπαιστικὰ γεγραμμένα, ἃ δὴ καὶ ἐν προόδῳ ὁ χορὸς λέγει, ἐφ᾽ ἑκάστου περιορισμοῦ τίθεται ἡ παράγραφος· τῆς δὲ παραβάσεως μερῶν ὄντων ἑπτά, ἐπὶ ἓν ἕκαστον τῶν ἀπολελυμένων τελῶν τίθεται ἡ παράγραφος, τοῦ κομματίου, καὶ τῆς παραβάσεως, καὶ τοῦ μακροῦ· οὐδὲν ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους, καὶ ἐπὶ τοῦ ἐπιρρήματος, ἐὰν μηδὲν αὐτῷ ἀποδιδῶται· ἐὰν δὲ ἐνῇ τὰ ἀνακλώμενα, τό, τε ἀντίστροφον τοῦ μέλους, καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται, ἡ ἔσω νενευκυῖα διπλῆ, ὑπὲρ τοῦ δηλῶσαι, ὅτι ἐστὶ τὰ ἀνταποδιδόμενα· ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος, ἡ ἔξω νενευκυῖα. εἰώθασι τοίνυν αὐτοὶ οἱ δραματοποιοὶ μεταξὺ ἰαμβείων τινῶν γράφειν ἑτέρῳ μέτρῳ ὁπόσας οὖν στροφάς, εἶτα πάλιν παράναντες δι᾽ ἰαμβείων τὸ προκείμενον, κατὰ συνέχειαν ἀνταποδιδόναι τὰς στροφάς, ἐν δὲ ταῖς προτέραις στροφαῖς ἐπὶ τοῦ τελευταίου κώλου, δύο τίθενται διπλαῖ, ἡ μὲν καὶ

ἀρχάς, ἔξω βλέπουσα· ἡ δὲ μετὰ τὸ τέλος, ἔσω νενευκυῖα, δηλούντων ἡμῶν διὰ τῆς ἔσω βλεπούσης, ὅτι ἀνταποδίδοται αὐτοῖς. ἐν δὲ τοῖς ἀνταποδιδομένοις, πάλιν μὲν ἐφ᾽ ἑκάστης στροφῆς, παράγραφος· ἐπὶ δὲ τοῦ τελευταίου κώλου, δύο διπλαῖ, ἡ μὲν κατ᾽ ἀρχάς, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι, διὰ τούτων δηλούντων ἡμῶν ὅτι ἀνταποδίδοται.

## ΕΙΣ ΤΟ ΤΟΥ ΗΦΑΙΣΤΙΩΝΟΣ ΠΕΡΙ ΜΕΤΡΩΝ, ΣΧΟΛΙΑ.

ΜΕΤΡΟΝ ἐστὶ ποδῶν ἢ βάσεως σύνταξις αἰσθήσει τῇ δι᾽ ἀκοῆς παραλαμβανομένη. εἰ δὲ τὸ κρῖνον ἐστὶν ἀκοή, τὸ κοσμοῦν ἐστὶ φωνή. ὡς γὰρ τὸν ἦχον τῆς εὐρυθμίας ἐκτείνουσά τε καὶ συστέλλουσα ἡ φωνὴ σχηματίζει τὰς συλλαβάς, οὕτως εἰσδεξαμένη κρίνει ἡ ἀκοή. Τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον δι᾽ ὃν εἰς Ἐλάτειαν ἦλθε Φίλιππος, μέχρι τοῦ Ἐλάτειαν, ἐστὶ στίχος ἡρωϊκός· ἀλλὰ μὴν καὶ ἰωνικὸν ὅταν λέγῃ· Πολλῶν δὲ λόγων καὶ θορύβων γιγνομένων παρ᾽ ἡμῖν. τοῦτο γὰρ ἄντικρυς ἰωνικόν ἐστιν ἀπὸ μείζονος. ὁμοίως τῷ, Εὐμορφοτέρα Μνασιδίκα τᾶς ἁπαλᾶς Γυρίνω. Διαφέρει δὲ μέτρον ῥυθμοῦ. ὕλη μὲν γὰρ τοῖς μέτροις ἡ συλλαβή, καὶ χωρὶς συλλαβῆς οὐκ ἂν γένοιτο μέτρον· ὁ δὲ ῥυθμὸς γίνεται μὲν καὶ ἐν συλλαβῇ· γίνεται δὲ καὶ χωρὶς συλλαβῆς. καὶ γὰρ ἐν κρότῳ, ὅταν χαλκέας ἴδωμεν τὰς σφύρας καταφέροντας, ἅμα τινὰ ῥυθμὸν ἀκούομεν· καὶ ἵππων πορείας ῥυθμὸς ἐνομίσθη, καὶ κίνησις δακτύλων, καὶ μελῶν σχήματα, καὶ χορδῶν κινήματα, καὶ ὀρνίθων πτερίσματα. μέτρον δὲ οὐκ ἂν γένοιτο χωρὶς λέξεως ποιᾶς καὶ ποσῆς. ἔτι διαφέρει, ᾗ τὸ μὲν μέτρον πεπηγότας ἔχει τοὺς χρόνους, μακρόν, καὶ βραχὺν, καὶ κοινόν· ὁ δὲ ῥυθμὸς, ὡς βούλεται, ἕλκει τοὺς χρόνους. πολλάκις γοῦν καὶ τὸν βραχὺν χρόνον ποιεῖ μακρόν. Τὸ δὲ μέτρον λέγεται πολλαχῶς. καὶ γὰρ τὴν συμμετρίαν μέτρον προσαγορεύομεν, ὡς ὁ εἰπών, Μέτρον ἄριστον. λέγεται μέτρον καὶ αὐτὸ τὸ μετροῦν καὶ τὸ μετρούμενον, ὡς ὅταν λέγωμεν πῆχυν· καὶ αὐτὸ τὸ μέτρον, ἐν ᾧ μετροῦμεν ποσότητά τινα· καὶ αὖ πάλιν αὐτὸ τὸ μετρούμενον ξύλον, ὃ μόνον ἔχει πῆχυν, πῆχυν λέγομεν. μέτρον δὲ καὶ πᾶν τὸ μὴ πεζόν, ὡς ὅταν εἴπω, τὰ μὲν Πλάτωνος πεζά, τὰ δὲ Ὁμήρου μέτρα. μέτρον καὶ τὸ εἶδος ἑκάστου, ὡς ὅταν εἴπω, μέτρον ἰαμβικόν, καὶ μέτρον ἰωνικόν. μέτρον καὶ στίχος ἕκαστος, ὡς ὅταν εἴπω, ἡ πρώτη Ὁμήρου ῥαψῳδία μέτρα ἔχει χ, ἤγουν στίχους. μέτρον καλοῦμεν καὶ τὴν διποδίαν, ἥτις καὶ συζυγία, ὡς ὅταν τὸ ἰαμβικὸν τὸ ἀπὸ ἓξ ποδῶν συγκείμενον τρίμετρον καλοῦμεν μέτρον· καὶ τὸν χρόνον, ὃν τινὲς τῶν ῥυθμικῶν σημεῖον προσαγορεύουσι. καὶ αὐτὸ τὸ μέτρον, τουτέστι τὸ ποίημα μέτρον προσαγορεύεται, καὶ ἕκαστον τῶν μετρούντων τῆς ὁμοίας τετύχηκεν ὀνομασίας. χρόνος γὰρ συλλαβὴν ποιεῖ· συλλαβὴ δὲ, πόδα· ποὺς δὲ συζυγίαν· συζυγία δὲ, στίχον· στίχος δὲ, ποίημα. πάντα οὖν εἰκότως μέτρον προσαγορεύεται. Ὡς παρὰ τὸ σείω σεῖστρον, καὶ παρὰ τὸ δέρω δέρτρον, καὶ παρὰ τὸ φέρω φέρτρον, οὕτω καὶ παρὰ τὸ μείρω μέτρον.

Παρ᾽ Ὁμήρῳ ἡ πρὸς συλλαβὴ ὅταν λέγῃ, Πρὸς οἶκον Πηλῆος, ἐν τόπῳ κεῖται μακρᾶς.



## ΠΕΡΙ ΚΟΙΝΗΣ ΣΥΛΛΑΒΗΣ.

Ο ΜΕΝ τεχνικὸς τρεῖς μόνους εἶπε τρόπους κοινῆς συλλαβῆς, ὡς πρὸς εἰσαγομένους τὸν λόγον ποιούμενος. οἱ δέ εἰσι δυοκαίδεκα· δύο μὲν, οἱ τὴν μακρὰν εἰς βραχεῖαν καταφέροντες· δέκα δὲ, οἱ τὴν βραχεῖαν εἰς μακρὰν ἀναφέροντες. καὶ πρῶτός ἐστι τρόπος τῶν τὴν μακρὰν εἰς βραχεῖαν καταφερόντων, οὗτος·

Οὔτι μοι -υυ αἰτίη -υυ ἐσσὶ, θε-υυ οἵ νύ μοι -υυ αἴτιοι -υυ εἰσί --.

Τρεῖς δὲ λέγει παραφυλακὰς ἔχειν· τὸ εἰς μέρος λόγου καταλήγειν, τὸ εἰς φωνῆεν, καὶ τὴν ἐπιφερομένην λέξιν ἀπὸ φωνήεντος ἄρχεσθαι. Θάτερος δὲ τρόπος τῶν τὴν μακρὰν εἰς βραχεῖαν καταφερόντων ἐστὶν, ὅταν δύο σύμφωνα ἐπιφέρηται ἐν συλλήψει· τὸ μὲν δεύτερον, ἀμετάβολον· τὸ δὲ ἡγούμενον, ἓν τῶν ἀφώνων· οἷον,

Πάτροκλέ -υυ μοι δει --λῇ πλεῖ -- στον κεχα -υυ ρισμένε -υυ θυμῷ --.

Τρίτος τρόπος κοινῆς συλλαβῆς, ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου, καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην· οἷον,

Νέστορα -υυ δ᾽ οὐκ ἔλα -υυ θεν ἰα -υυ χὴ πί --νοντά περ -υυ ἔμπης --. καὶ πάλιν,

Οἱ δὲ μέ -υυ γα ἰά -υυ χοντες ἐ -υυ πέδραμον -υυ ἦες ἀ -υυ χαιῶν --.

Τούτων οὖν τῶν τριῶν τρόπων, ὁ μὲν φύσει, φαίνεται ἐν τῷ, Οὔτι μοι αἰτίη ἐσσί· ὁ δὲ, θέσει, ἐν τῷ, Πάτροκλέ μοι δειλῇ, ὁ δὲ βραχὺς, ἐν τῷ, Οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον. σημείωσαι δὲ ὅτι κἂν τὴν ἑξῆς ἔχῃ ἀπὸ συμφώνου ἀρχομένην, λήγῃ δὲ ἡ προτέρα εἰς φωνῆεν, κοινὴν ποιεῖ συλλαβήν· οἷον,

Ἀλλὰ τά -υυ γ᾽ ἄσπαρ --τα καὶ ἀ -υυ νήροτα -υυ πάντα φύ -υυ ονται υ-.

Τῶν δὲ τὴν βραχεῖαν εἰς μακρὰν ἀναφερόντων, πρῶτος οὗτος τρόπος, ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου, καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οὐ τοῦ τυχόντος φωνήεντος ἀρχομένου, ἀλλὰ τοῦ ι, ὡς ἐν τῷ,

Οἱ δὲ μέ -υυ γα ἰά -υυ χοντες ἐ -υυ πέδραμον -υυ ἦες ἀ -υυ χαιῶν --. καὶ,

Νέστορα - δ᾽ οὐκ ἔλα -υυ θεν ἰα -υυ χὴ πί --νοντά περ -υυ ἔμπης --.

Δεύτερος δὲ τρόπος τῶν τὴν βραχεῖαν εἰς μακρὰν ἀναφερόντων, ὁ διὰ τῆς ὀξείας. αὕτη οὖν ἡ ὀξεῖα ἐπικειμένη τινὶ τῶν βραχέων ἢ βραχυνομένων διχρόνων, μηκύνει· ὡς ἐπὶ τοῦ,

Τρῶες -- δ᾽ ἐρρί --γησαν ἐ -υυ πεὶ ἴδον -υυ αἰόλον -υυ ὄφιν υυ.

ἰδοὺ ὁ τελευταῖος πούς, πυρρίχιος μὲν ὑπάρχει· ἐπειδὴ δὲ τὴν ὀξεῖαν ἔχει ἐπικειμένην ἐπὶ τὸ ο, ἀντὶ τρόπου παρείληπται τῆς ὀξείας μηκυνούσης τὸ ο, καὶ οὐκ ἀκαίρως· δοκεῖ γὰρ ἡ ὀξεῖα ἀνατεινομένη τῇ τε φωνῇ, καὶ αὐτῇ τῇ θέσει καὶ διαπτώσει τοῦ χαρακτῆρος ἑαυτῆς τὴν βραχεῖαν ἀνακαλεῖσθαι εἰς ἑτέραν τάξιν. ἡ οὖν ὀξεῖα τοιαύτην ἔχει φύσιν καὶ δύναμιν, ὡς μὴ μόνον ἐπικειμένη ἐπάνω βραχείας, μηκύνειν αὐτήν, ἀλλὰ καὶ προκειμένη, καὶ μετακειμένη, δύνασθαι τῇ βραχείᾳ χρόνον χαρίζεσθαι· ὡς ἐπὶ τοῦ,

Ἠ ναύ --τῃσι τέ -υυ ρας -. Ἡ ρας συλλαβή, βραχεῖα οὖσα διὰ τῆς προκειμένης ὀξείας ἐμηκύνθη. Μετακειμένη δὲ, ὡς ἐπὶ τούτου τοῦ ἔπους,

Αἴσιμα -υυ παρει --πὼν ἀπὸ -υυ ἔθεν -- ὤσατο -υυ χει -υ.

τὴν ἀπὸ βραχείας οὖσαν ἡ ὀξεῖα τοῦ ἔθεν ἐμήκυνεν· ὅθεν ὁ στίχος δοκῶν πάθος ἔχειν τὸ λεγόμενον λαγαρόν, ἀπαθὴς, ὡς οἶμαι, γέγονε, διὰ τῆς ἐπιφορᾶς τῆς ὀξείας· ἐπὶ δὲ τοῦ δευτέρου ποδὸς, μὴ ἐσχηκὼς μηδεμίαν βοήθειαν, ἔμεινε τὸ προλεχθὲν πάθος τὸ λαγαρόν. ποῦ γὰρ πα-

ἢ χώρας ἰαμβικὸν, καθὸ κατὰ διποδίαν βαίνοιτο τὸ τοιοῦτον μέτρον. ὑφίσανται δὲ ἀπὸ τούτου τοῦ μέτρου κατὰ ἀφαίρεσίν τε καὶ πρόσθεσιν μονόμετρά τε καὶ δίμετρα, καὶ τετράμετρα, καὶ πεντάμετρα. ἀποθέσεις δὲ αὐτῶν αἵπερ καὶ πάντων. καὶ γὰρ αἳ μὲν αὐτῶν εἰσὶν ἀκατάληκτα, αἳ δὲ ὑπερκατάληκτα, αἳ δὲ καταληκτικά, αἳ δὲ βραχυκατάληκτα.

Μονόμετρον μὲν οὖν ἰαμβικὸν βραχυκατάληκτον τοῦτο,

Φεῦ φεῦ. λείπει γὰρ ὅλος ποὺς πρὸς τὸ μονόμετρον ἀπαρτίσαι. Ἀκατάληκτον δὲ τοῦτο,

Φεῦ φεῦ ἰώ. Καταληκτικὸν δὲ τοῦτο,

Ἄρρεν. εἰς συλλαβὴν γὰρ ἡ τελευταία χώρα λήγει. Ὑπερκατάληκτον δὲ τοῦτο,

Πάτερ Λυκάμβα. ἡ γὰρ διποδία νῦν μιᾷ πλεονάζει συλλαβῇ.

Δίμετρον δὲ βραχυκατάληκτον μὲν τοῦτο,

Ἥλιε θοαῖς ἵπποις. λείπει γὰρ ὅλος ποὺς εἰς ἀπάρτισιν τῆς διποδίας. Ἀκατάληκτον δὲ ὡς τοῦτο,

Ἐρῶ τε δηῦτε κοὐκ ἐρῶ. Καὶ μαίνομαι κοὐ μαίνομαι, Καταληκτικὸν δὲ ὡς τοῦτο,

Ὁ μὲν θέλων μάχεσθαι. μιᾷ γὰρ συλλαβῇ λείπει πρὸς τὸ διποδίαν ἀπαρτίσαι. Ὑπερκατάληκτον δὲ ὡς τόδε,

Ἔσπειρεν αὐτὸς καὶ πέρας δή. μιᾷ γὰρ πλεονάζει τῆς διποδίας.

Τρίμετρον δὲ, βραχυκατάληκτον μὲν,

Πάτερ Λυκάμβα ποῖον ἐφράσω. λείπει γὰρ ὅλῳ ποδί. Ἀκατάληκτον δὲ ὡς τὸ,

Ἥκω φέρων σοι τῆς ἐρήμου καρδίας. Καταληκτικὸν δὲ ὡς τὸ,

Ὄλμος κακοῦ δὲ γήραος καθαιρεῖ. Ὑπερκατάληκτον δὲ ὡς τόδε,

Πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον τίς.

Τετράμετρον δὲ, βραχυκατάληκτον μὲν ὡς τοῦτο,

Πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον τίς σάς. λείπει γὰρ ὅλῳ ποδὶ πρὸς τετράμετρον. Ἀκατάληκτον δὲ ὡς τόδε,

Δέξαι με κωμάζοντα, δέξαι· λίσσομαί σε, λίσσομαι. πλήρεις γὰρ ἔχει τὰς δ, διποδίας.

Καταληκτικὸν δὲ ὡς τόδε,

Εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα. λείπει γὰρ μιᾷ συλλαβῇ πρὸς τετράμετρον.

Ὑπερκατάληκτον δὲ, ὡς τόδε,

Οὐκ ἔστι γὰρ εἰκὸς τὴν φαύλην πεφυρμένην ψυχὴν γεωργεῖν·

Πεντάμετρον δὲ βραχυκατάληκτον μὲν τόδε,

Πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον. τίς σὰς παρήειρε. Ἀκατάληκτον δὲ,

Πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον· τίς σὰς παρήειρε φρένας. Καταληκτικὸν δὲ τόδε,

Πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον· τίς σὰς φρένας σ' ἀφεῖλεν. Ὑπερκατάληκτον δὲ οὐκ ἔστιν, ὅπου καὶ αὐτὸ τὸ ἀκατάληκτον σπανιώτατόν ἐστι, διὰ τὸ μὴ βούλεσθαι τὸν ἴαμβον ἐπὶ πλέον τῶν λβ, χρόνων ἀνέρχεσθαι.

Ἔστι δὲ καὶ ἕτερον ἰαμβικὸν, καλούμενον χωλιαμβικὸν, ὃ τοῦ ὀρθοῦ τούτῳ διαφέρει. τὸ μὲν γὰρ ὀρθὸν τὴν τελευταίαν βάσιν ἰάμβῳ ἢ πυρριχίῳ ἀπαρτίζει, καὶ ἀδιαφορεῖ κατὰ τὸν παραλήγοντα πάντας δεχόμενον τοὺς εἰς ἴαμβον συντελοῦντας πόδας, μηδὲν μικρολογούμενον περὶ τὴν τῶν συλλαβῶν ποσότητα· τὸ δὲ χωλὸν τὴν μὲν κατακλεῖδα, ἤτοι τὴν βάσιν σπον-



δειακὴν ἀπαιτεῖ, ἢ τροχαϊκὴν πάντως, διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς· τὸν δὲ παραλήγοντα πόδα οὐ μόνον δισύλλαβον, ἀλλὰ καὶ ἴαμβον πάντως, ἢ σπονδεῖον· ἴαμβον μὲν ὡς τόδε,

Ἀκούσαθ' Ἱππώνακτος. οὐ γὰρ, ἀλλ' ἥκω. σπονδεῖον δὲ ὡς τοῦτο,

Ἐπ' ἄκρον ἕλκων ὥσπερ ἀλλᾶντα ψύχων. καὶ περὶ ἰαμβικοῦ τοσαῦτα.

## ΕΤΙ ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ.

Τὸ ἰαμβικὸν μέτρον, ἔστι μὲν ἑξάμετρον· διαιρεῖται δὲ εἰς δύο. τὸ μὲν γὰρ αὐτοῦ καλεῖται τραγικόν τε καὶ κωμικὸν, ᾧ καὶ τῶν παλαιῶν οἱ πολλοὶ ἐχρήσαντο. δέχεται δὲ τοῦτο, ἐν μὲν τῇ πρώτῃ καὶ τρίτῃ, καὶ πέμπτῃ βάσει πόδας ε, δάκτυλον, σπονδεῖον, χορεῖον, ἀνάπαιστον, καὶ τὸν ὁμώνυμον ἴαμβον· ἐν δὲ τῇ δευτέρᾳ, καὶ τετάρτῃ, τοὺς ἀπὸ βραχείας ἀρχομένους, τουτέστιν ἀνάπαιστον, χορεῖον καὶ ἴαμβον· ἐν δὲ τῇ ἕκτῃ, ἴαμβον ἢ πυρρίχιον. δεῖ γὰρ αὐτὴν εἶναι πάντως δισύλλαβον καὶ τὴν μὲν πρὸ τέλους εἶναι βραχεῖαν, τὴν δὲ ἐπὶ τέλους ἀδιάφορον. τὸ δὲ ἕτερον τοῦ ἰαμβικοῦ μέρος καλεῖται καθαρόν τε καὶ τρίμετρον. τούτῳ δὲ ὀλίγοι τῶν ἀρχαίων ἐχρήσαντο· δέχεται δὲ, ἐν μὲν τῇ πρώτῃ βάσει, ἴαμβον καὶ σπονδεῖον, ὁμοίως καὶ ἐν τῇ τρίτῃ, καὶ πέμπτῃ· ἐν δὲ τῇ δευτέρᾳ καὶ τετάρτῃ ἴαμβον μόνον· ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον. ἐκλήθη δὲ ἴαμβος, ἀφ' οὗ τὸ μέτρον παρονομάζεται ἰαμβικὸν, ἐπείπερ οἱ ὑβρίζειν καὶ λοιδορεῖν τινὰς βουλόμενοι, τούτῳ ἐχρῶντο τῷ μέτρῳ. ἰαμβίζειν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ὑβρίζειν, ὅπερ ἐστὶ πικρίας ἀνάμεστα ῥήματα λέγειν· ἢ ἀπὸ Ἰάμβης οὕτω καλουμένης κόρης, ἥτις αἰσχρῶς ὑβρισθεῖσα ἀγχόνῃ κατέλυσε τὸν βίον, ὥσπερ καὶ αἱ Λυκαμβίδες ἐπὶ τοῖς Ἀρχιλόχου ποιήμασι· καὶ διὰ τοῦτό φασι συντεθῆναι τὸν ἴαμβον ἐκ βραχείας καὶ μακρᾶς, διὰ τὸ τὴν ὕβριν ἐκ βραχείας ἀρχομένην αἰτίας εἰς μέγα λήγειν κακόν. μαρτυρεῖ δὲ τῷ λεγομένῳ Ὅμηρος ὁ σοφώτατος,

Ἥτ' ὀλίγη μὲν, λέγουν, πρῶτα κορύσσεται· αὐτὰρ ἔπειτα Οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει. Πόδες οὖν τοῦ ἰαμβικοῦ ἕξ, ἴαμβος, χορεῖος, σπονδεῖος δάκτυλος, ἀνάπαιστος, πυρρίχιος. μετρεῖται δὲ τὸ ἰαμβικὸν κατὰ διποδίαν, ὅθεν καὶ τρίμετρον λέγεται. εἰ γὰρ καὶ ἑξάμετρον ἔφημεν αὐτὸ ἐν τῇ ἀρχῇ, ἀλλ' ἁπλῶς εἴπομεν, αἰτίᾳ τοῦ ἑξάποδον. Τοῦ δὲ ἰαμβικοῦ μέτρου χαρακτῆρές εἰσι δ, τραγικὸς, κωμικὸς, σατυρικὸς, καὶ οὕτω πως ἰδίως λεγόμενος ἰαμβικός. καὶ ἔστι τραγικοῦ μὲν ἴδιον, τὸ ἐπὶ πλεῖστον μὲν ἐκ σπονδείων καὶ ἰάμβων συγκεῖσθαι, σπανίως δὲ καὶ ἕνα τρισύλλαβον ἐπιδέχεσθαι, οἷον,

Ἥκω Διὸς παῖς τήνδε Θηβαίαν χθόνα Διόνυσος, ὃν τίκτει ποτ' ἡ Κάδμου κόρη.

κωμικοῦ δὲ ἴδιον, τὸ καὶ ἐκ τρισυλλάβων ὡς ἐπὶ τὸ πλεῖστον συγκεῖσθαι, οἷον,

Καὶ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν. ἴδιον δὲ σατυρικοῦ, τὸ μέσον εἶναι τραγικοῦ καὶ κωμικοῦ, ἤγουν δέχεσθαι καὶ τοὺς τρισυλλάβους μὴ κατακόρως, οἷον,

Ἠλ' ἄγκος ὑψίκρημνον ὄρεσι περίδρομον. ἴδιον δὲ ἰαμβικοῦ, τὸ δισυλλάβους μόνους ἐπιδέχεσθαι πόδας, καὶ μάλιστα ἴαμβον, οἷον,

Πάτερ Λυκάμβα ποῖον ἐφράσω τόδε.

## ΠΕΡΙ ΤΟΥ ΑΝΑΚΡΕΟΝΤΕΙΟΥ.

Τὸ μὲν ἀνακρεόντειον οἱ ἀρχαῖοι τὸ δίμετρον ἰαμβικόν φασι, τὸ καὶ ἀκατάληκτον, ὅπερ καὶ τὸ ὀκτασύλλαβόν ἐστιν, ἐπιδεχόμενον, κατὰ μὲν τὴν πρώτην καὶ τρίτην χώραν ἴαμβον καὶ σπονδεῖον, ὡς ἔθος· κατὰ δὲ τὴν δευτέραν ἴαμβον μόνον· κατὰ δὲ τὴν τετάρτην ἴαμβον ἢ πυρρίχιον, διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς. οἱ δὲ νεώτεροι διαιροῦσιν αὐτὸ εἰς τε κω-

λα ἕξ, τὰ εἰς δύο· καὶ τὰ μὲν ἓξ κῶλα, φασὶν οἴκους· τὰ δὲ δύο, κουκούλιον, καὶ ἐπιδέχονται, οἱ μὲν οἶκοι ἀνάπαιστον καὶ δύο ἰάμβους, καὶ περιττὴν συλλαβήν· οἷον,

Ἀπὸ τοῦ λίθου τὸ ῥεῖθρον. καί,

Ἀπὸ τῆς φίλης ἐρήμου. τὸ δὲ τούτων κουκούλιον σύγκειται ἔκ τε τοῦ ἐλάσσονος τῶν δυσυλλάβων ποδῶν, τουτέστι τοῦ πυρριχίου, καὶ ἐκ τοῦ μείζονος, ἤτοι τοῦ σπονδείου· καὶ ἔχει ἐν μὲν ταῖς περιτταῖς χώραις τὸν ἐλάσσονα· ἐν δὲ ταῖς ἀρτίοις, τὸν μείζονα· οἷον,

Ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας, Ἁγίων προσδέμου κόσμου αἰών, καί,

Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε. τινὲς δὲ συντάττουσιν αὐτοῖς καὶ ἕτερον ἐξ ἑνὸς τῶν τετρασυλλάβων ποδῶν τὴν συστροφὴν ἔχοντα, ἤγουν ἐξ ἰωνικοῦ ἀπ' ἐλάσσονος τρίμετρον ἀκατάληκτον, ὃν καὶ ἀνακλώμενόν φασι, ἐπιδεχόμενον δὲ τομὴν ἑφθημιμερῆ, τουτέστι κατὰ τὰς τρεῖς τοῦ δευτέρου ποδὸς περαινομένην τὴν τομὴν εἰς μέρος λόγου· οἷον,

Ἀρετὴ ἔργα φέρειν ἔμπονος ἥβη. ἔστι δ' ὅτε καὶ ἀπὸ χοριάμβου ἄρχεται ὁ τοιοῦτος στίχος, εἶτα ἔχει τὸν ἰωνικὸν ἀπ' ἐλάσσονος, διὰ τὸ ἀδιάφορον τῆς τελευταίας, καθὰ τῷ ἁγίῳ Σωφρονίῳ καὶ ἄλλοις ἀρχαιοτέροις δοκεῖ· οἷον,

Χριστιανῶν μακάρων ἔλθετε παῖδες. καὶ οὕτω μὲν ἐκ τριῶν τετρασυλλάβων· εἰ δὲ βούλει ἐκ δισυλλάβων ἕξ. ἐν μὲν τῇ πρώτῃ χώρᾳ, τροχαίου· ἐν δὲ τῇ δευτέρᾳ, ἰάμβου· ἐν δὲ τῇ τρίτῃ, πυρριχίου· ἐν δὲ τῇ τετάρτῃ, σπονδείου· ἐν δὲ τῇ πέμπτῃ, πάλιν πυρριχίου· ἐν δὲ τῇ ἕκτῃ, τροχαίου, ἢ σπονδείου, διὰ τὴν ἀδιάφορον.

## ΠΕΡΙ ΤΟΥ ΤΡΟΧΑΙΚΟΥ.

Ἔστι δὲ τὸ τροχαϊκὸν ὡσαύτως κατά τε τὰς τῶν ποδῶν παραυξήσεις, καὶ τὰς τομάς, καὶ ἔτι τὰς ἀποθέσεις. βαίνεται δὲ παραπλησίως ἐκείνοις κατὰ διποδίαν. ἐπισημότατα δ' αὐτοῦ τό, τε δίμετρον καταληκτικόν, καὶ ἔτι τὸ τρίμετρον καταληκτικόν, ὅ τινες καὶ ἀκέφαλον ἴαμβον καλοῦσιν, ὅτι μιᾷ συλλαβῇ λείπει κατ' ἀρχὰς ἰαμβικοῦ τρίμετρον εἶναι· καὶ ἔτι τὸ τετράμετρον.

Μονόμετρον μὲν οὖν τροχαϊκὸν βραχυκατάληκτον ὡς τοῦτο,

Ζεὺς μέ. ἀκατάληκτον, Κάρφεται γάρ. καταληκτικόν, Ζεῦ πάτερ. ὑπερκατάληκτον, Ἔρχεται πολύς.

Δίμετρον δέ, βραχυκατάληκτον μέν, Κάρφεται γὰρ ἤδη. ὃ καὶ ἰθυφαλλικόν. ἀκατάληκτον δέ, Οὐδ' Ἀμειψίαν ὁρᾶτε. καταληκτικὸν δέ, Νῦν δέ μοι πρὸ τειχέων, ὃ καὶ Εὐριπίδειον. ὑπερκατάληκτον δέ,

Οὐδ' Ἀμειψίαν ὁρᾶτε νῦν.

Τρίμετρον δέ, βραχυκατάληκτον μὲν ὡς τοῦτο,

Οὐδ' Ἀμειψίαν ὁρᾶτε πτωχόν. ἀκατάληκτον δέ,

Νῦν δέ μοι πρὸ τειχέων θούριος Ἄρης. καταληκτικὸν δέ, ὃ καὶ ἴαμβον ἀκέφαλον ἔφαμεν καλεῖσθαι.

Ζεῦ πάτερ γάμον μὲν οὐκ ἐδαισάμην. ὑπερκατάληκτον δέ,

Ἔρχεται πολὺς μὲν Αἰγαῖον διανύσας.

Τετράμετρον δέ, βραχυκατάληκτον μέν,

Οὐδ' Ἀμειψίαν ὁρᾶτε πτωχὸν ὄντ' ἐν ἡμῖν. ἀκατάληκτον δέ,

Κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε κούρα. καταληκτικὸν δέ,

Ἐρξίην,



Ἐρξίην, πῇ δῆτ' ἄνολβος ἀθροΐζεται στρατός. ὑπερκατάληκτον δέ,

Κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε νῦν κούρα.

Πεντάμετρον δὲ βραχυκατάληκτον μὲν τόδε,

Ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας, ἀπ' οἰκηρᾶς δέ. ἀκατάληκτον δέ, τὸ αὐτό, προστιθεμένου τῷ τέλει τοῦ Χίου. καταληκτικὸν δέ, τὸ αὐτὸ πάλιν λείποντος τοῦ δὲ τοῦ συνδέσμου.

Ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας ἀπ' οἰνηρᾶς Χίου. ὑπερκατάληκτον δὲ οὐκ ἔστιν, ὥσπερ οὐδὲ ἐν τῷ ἰαμβικῷ.

Ἔστι δὲ καὶ χωλὸν τροχαϊκὸν τετράμετρον καταληκτικόν, ὃ τὸν παραλήγοντα πόδα σπονδεῖον ἔχει, ὡς τόδε,

Μὴ προτίμα δῆτ' ἐμὲ χρὴ τῷ σκότῳ δικάζεσθαι. χωλὸν δὲ λέγει, ὅτι τὸν παραλήγοντα πόδα σπονδεῖον ἔχει, ὃν ἀποστρέφεται τὰ καταληκτικὰ τροχαϊκά. ταῦτα γὰρ φιλεῖ τὴν κατακλεῖδα, ἢ χορεῖον, ἢ τροχαῖον φέρειν· τροχαῖον,

Ἐρξίην, πῇ δῆτ' ἄνολβος ἀθροΐζεται στρατός. χορεῖον,

Τῶν πολιτῶν ἄνδρας ὑμῖν δημιουργοὺς ἀποφανῶ.

## ΠΕΡΙ ΤΟΥ ΔΑΚΤΥΛΙΚΟΥ.

Τὸ δακτυλικόν, βαίνεται μὲν κατὰ μονοποδίαν, αὔξεται δὲ μέχρι ποδῶν ἕξ. ἔχει δὲ διαφορὰς τρεῖς. τὸ μὲν γὰρ αὐτοῦ ἐστι κοινόν, τὸ δὲ αἰολικόν, τὸ δὲ λογαοιδικόν. τὸ μὲν οὖν κοινὸν κατὰ πᾶσαν χώραν δέχεται ἀδιαφόρως δάκτυλον καὶ σπονδεῖον. ὑφίστησι δὲ κατὰ ἀφαίρεσιν δίμετρά τε καὶ τρίμετρα· μονόμετρα δὲ οὐκ ἔχει, τῷ μὴ βαίνεσθαι κατὰ διποδίαν· συνέμπτωσιν γὰρ ἂν ἐποίει τῶν τοιούτων μέτρων πρός τε τὰ τροχαϊκὰ καὶ ἰαμβικά. ἔχει δὲ ἀποθέσεις τρεῖς, καταληκτικὸν εἴς τε συλλαβήν, καὶ εἰς δισύλλαβον, καὶ ἀκατάληκτον. καὶ δίμετρον μὲν ἀκατάληκτον, τό,

Ὑμῖν μὲν θεοί. τρίμετρον δέ, καταληκτικὸν μὲν εἰς συλλαβήν, ὃ καὶ πενθημιμερὲς καλεῖται, καὶ ἀρχιλόχειον, τό,

Ἐν δὲ Βατουσιάδης. καταληκτικὸν δὲ εἰς δισύλλαβον, ὡς τό,

Οὐλομένην ἣ μυρί'. ἀκατάληκτον δὲ τό,

Ἀτρεΐδαι τε καὶ ἄλλοι. τετράμετρον δέ, καταληκτικὸν μὲν εἰς συλλαβήν, τὸ καὶ ἑφθημιμερές, ᾧ Ἀλκμὰν κέχρηται.

Ταῦτα μὲν ὡς ἂν ὁ δᾶμος ἅπας. καταληκτικὸν δὲ εἰς δισύλλαβον, τὸ καὶ ἀρχιλόχειον,

Φαινόμενον κακὸν οἴκαδ' ἄγεσθαι. ἀκατάληκτον δέ, τὸ ἀρχιλόχειον, ὃ καὶ δίμοιρον ἔπους λέγεται.

Οὐκέθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα.

Πεντάμετρον δέ, καταληκτικὸν μὲν εἰς συλλαβήν,

Ὣς ἔφατ', οὐδ' ἀπίθησεν ἄναξ ἀνδρῶν. καταληκτικὸν δὲ εἰς δισύλλαβον, τὸ καλούμενον σιμμίειον,

Χαῖρε ἄναξ ἑταῖρε ζαθέας μάκαρ ἥβας. ἀκατάληκτον δέ,

Εὗδον παννύχιοι· Δία δ' οὐκ ἔχε νήδυμος. ἑξάμετρον δέ, καταληκτικὸν μὲν εἰς συλλαβὴν ἐκ τῶν ὁμηρικῶν οὐκ ἔχομεν· εἰ πού δέ τις ἐντύχοι, ἔστι τὸ μιᾷ συλλαβῇ περιττεῦον τοῦ πενταμέτρου ἀκαταλήκτου. καταληκτικὸν δὲ εἰς δισύλλαβον, πάντα τὰ ὁμηρικὰ ἔπη.

M

Ἀκατάληκτον δὲ σπάνιον ἐξ αὐτῶν, ὡς τό,

Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα.

## ΠΕΡΙ ΔΑΚΤΥΛΙΚΟΥ ΑΙΟΛΙΚΟΥ.

Τὸ δὲ δακτυλικὸν τὸ αἰολικόν, κατὰ μὲν τὰς ἄλλας χώρας πάσας ἐπιδέχεται ὡσαύτως τῷ κοινῷ τούς τε δακτύλους καὶ σπονδείους ὁμοίως καὶ κατὰ τὰς παραθέσεις· τὸν δὲ πρῶτον πόδα ἔχει ἕνα τῶν δισυλλάβων ἀδιάφορον. ὅτε μὲν οὖν ἐστὶν ἀκατάληκτον, δάκτυλον ἢ ἀμφίμακρον ἔχει τὸν τελευταῖον πόδα· ἐὰν δὲ καταληκτικόν, εἰς δισύλλαβον μέν, σπονδεῖον ἢ τροχαῖον ἔχει τὸ τελευταῖον· εἰς συλλαβὴν δέ, ἀδιάφορον. ὑφίσταται δὲ καὶ ἐν τούτῳ κατὰ ἀφαίρεσιν δίμετρά τε καὶ τρίμετρα, καὶ ἔτι τετράμετρα καὶ πεντάμετρα· μονόμετρα γὰρ οὐκ ἔχει· καὶ ταῦτα καταληκτικά τε εἰς συλλαβὴν καὶ εἰς δισύλλαβον, καὶ ἀκατάληκτα. τῶν μὲν οὖν ἄλλων παραδείγματα οὐκ ἔχομεν· τετραμέτρων δὲ καταληκτικῶν εἰς δισύλλαβον, τό,

Θυρωρῷ πόδες ἑπτορόγυιοι,
Τὰ δὲ σάμβαλα πενταβόεια.
Πίσυγγοι δὲ δέκ᾽ ἐξεπόνασαν.

Ἀκαταλήκτων δέ,

Ἔρος δ᾽ αὖτέ μ᾽ ὁ λυσιμελὴς δονεῖ,
Γλυκύπικρον ἀμάχανον ὄρπετον,
Ἄτθι, σοὶ δ᾽ ἐμέθεν μὲν ἀπήχθετο
Φροντὶς δ᾽ ἰῶ, ἐπὶ δ᾽ Ἀνδρομέδαν ποτέ.

πενταμέτρου δὲ καταληκτικοῦ εἰς δισύλλαβον,

Τίῳ σ᾽ ὦ φίλε γαμβρὲ καλῶς εἰκάσδω,
Ὄρπακι βραδινῷ σε μάλιστ᾽ εἰκάσδω.

Ἀκαταλήκτου δέ, τοῦ καὶ σαπφικοῦ καλουμένου, ὃ καὶ τεσσαρεσκαιδεκασύλλαβόν ἐστιν,

Ἠράμαν μὲν ἐγὼ σέθεν ἄτε πάλαι πόκα.

Ἑξαμέτρου δὲ καταληκτικοῦ εἰς δισύλλαβον τό,

Κέλομαί τινα τὸν χαρίεντα Μένωνα καλέσαι.

## ΠΕΡΙ ΤΟΥ ΛΟΓΑΟΙΔΙΚΟΥ.

Λογαοιδικὸν δὲ καὶ αὐτὸ ἐν μὲν ταῖς ἄλλαις χώραις ὁμοίως δακτυλικῷ ἔχει, τελευταίαν δὲ τροχαϊκὴν συζυγίαν· καὶ τοῦ μὲν πρὸς δυσὶ δακτύλοις τροχαϊκὴν ἔχοντος συζυγίαν, καλουμένου δὲ ἀλκαϊκοῦ παράδειγμα, τό,

Καί τις ἐπ᾽ ἐσχαπαῖσιν οἰκεῖς. τοῦ δὲ πρὸς τρισὶ καλουμένου πραξιλλείου, τό,

Ὦ διὰ τῶν θυρίδων καλῶς βλέποισα Παρθένε τὰν κεφαλάν, τὰ δ᾽ ἔνερθε νύμφα. ἡ δὲ τροχαϊκὴ συζυγία ἐνταῦθα, ἢ δίτροχαιός ἐστιν, ἢ ἐπίτριτος β.

## ΕΤΙ ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ ΔΑΚΤΥΛΙΚΟΥ Η ΗΡΩΙΚΟΥ.

Τὸ ἡρωϊκὸν μέτρον ἑξάμετρόν ἐστιν· ἓξ γὰρ χώρας ἐπιδέχεται, καὶ κατὰ μονοποδίαν μετρεῖται. κατὰ μὲν οὖν τὰς πέντε χώρας δάκτυλον καὶ σπονδεῖον ἀδιάφορον, ἐνίοτε καὶ παλιμβάκχειον καὶ ἀμφίμακρον· καθαροὺς μέντοι καὶ ἐν τάξει δακτύλων κειμένους. καθαροὶ δέ εἰσιν, ὅταν ἀπαρτίζωσιν εἰς μέρος λόγου, καὶ τὴν ἐπιφερομένην λέξιν ἔχωσιν ἀπὸ φωνήεντος ἀρχομένην· καὶ παλιμβάκχειον μέν, ὡς ἐν τῷ,

Πλάγχθη ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε. ἀπήρτισται γάρ, εἰς μέρος λόγου τὸ πλάγχθη, καὶ ἡ ἑξῆς ἄρχεται ἀπὸ φωνήεντος τοῦ ε. ἀμφίμακρον δέ, ὡς ἐν τῷ,

Οὔτι μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν. καὶ εἰσὶν ἐν τούτῳ τρεῖς ἀμφίμακροι, ἐν τῇ



τῇ μοι συλλαβῇ, δύο, καὶ ἐν τῇ αἰτίη· ἀπηρτισμένοι γάρ εἰσιν εἰς μέρος λόγου, καὶ τὰς ἑξῆς ἔχουσιν ἀπὸ φωνήεντος ἀρχομένας. ἡ δὲ ἕκτη χώρα σπονδεῖον δέχεται καὶ τροχαῖον. ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή. ἡρωϊκὸν δὲ καλεῖται τὸ μέτρον, ἐπεὶ γὰρ Ὅμηρος ὁ ποιητὴς τὰς τῶν ἡρώων πράξεις διεξιών, τούτῳ κέχρηται τῷ μέτρῳ. χρὴ δὲ γινώσκειν ὅτι ὁ μὲν παλιμβάκχειος εἰς τὴν δευτέραν συλλαβὴν θεραπεύεται, τοῦτ᾽ ἔστιν, ἵνα ἡ αὐτὴ ἡ δευτέρα συλλαβὴ τοῦ παλιμβακχείου εἰς μέρος λόγου, καὶ ἡ ἑξῆς ἄρχηται ἀπὸ φωνήεντος, οἷον,

Πλάγχθη· ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε. ὁ δὲ ἀμφίμακρος κατὰ τὴν τρίτην, λήγουσαν καὶ ταύτην ὁμοίως εἰς μέρος λόγου, καὶ τὴν ἑξῆς ἔχουσαν ἀπὸ φωνήεντος ἀρχομένην, οἷον,

Οὔτι μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν. ἔτι δὲ λέγονται κυρίως οἱ τοῦ ἡρωϊκοῦ τούτου μέτρου καὶ ἑξαμέτρου στίχοι.

## ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΤΟΥ ΗΡΩΙΚΟΥ.

Διαφοραὶ δὲ τῶν ἡρωϊκῶν στίχων εἰσὶν ἑπτά· κατενόπλιον, περιοδικόν, βουκολικόν, σαπφικόν, ὑπόρρυθμον, τέλειον, καὶ πολιτικόν. κατενόπλιον μὲν οὖν ἐστὶ τὸ ἔχον δύο δακτύλους καὶ ἕνα σπονδεῖον, οἷον,

Ὣς φάτο δάκρυ χέων, τοῦ δ᾽ ἔκλυε πότνια μήτηρ.

Περιοδικὸν δέ ἐστι τὸ ἔχον ἕνα δάκτυλον, καὶ ἕνα σπονδεῖον, οἷον,

Οὐλομένην, ἣ μυρί᾽ Ἀχαιοῖς ἄλγε᾽ ἔθηκε.

Βουκολικὸν δὲ τὸ μετὰ τρεῖς πόδας ἀπαρτίζον εἰς μέρος λόγου, οἷον,

Ἐξ ἐπιδιφριάδος πυμάτοις ἱμᾶσι δέδεντο.

Σαπφικὸν δέ ἐστι τὸ ἀρχόμενον ἀπὸ σπονδείου, καὶ λῆγον εἰς σπονδεῖον,

Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί:

Ὑπόρρυθμον δέ ἐστι τὸ καθ᾽ ἕκαστον πόδα ἀπαρτίζον μέρος λόγου, οἷον,

Ὕβριος εἵνεκα τῆσδε, σὺ δ᾽ ἴσχεο, πείθεο δ᾽ ἡμῖν.

Τέλειον δέ ἐστι τὸ ἔχον πάντα τὰ μέρη τοῦ λόγου, οἷον,

Πρὸς δ᾽ ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ᾽ ἐλέαιρε.

Πολιτικὸν δέ ἐστι τὸ ἄνευ πάθους ἢ τρόπου πεποιημένον, οἷον,

Ἵπποις τε ξανθὰς ἑκατὸν καὶ πεντήκοντα. ὅπερ ταὐτόν ἐστι τῷ λογοειδεῖ.

## ΠΕΡΙ ΤΟΥ ΑΝΑΠΑΙΣΤΙΚΟΥ.

Τὸ δὲ ἀναπαιστικόν, κατὰ διποδίαν μὲν βαίνεται, κατὰ πᾶσαν δὲ χώραν δέχεται ἀδιαφόρως σπονδεῖον καὶ ἀνάπαιστον, σπανίως δὲ καὶ προκελευσματικόν· παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ ἴαμβον καὶ δάκτυλον. ἔχει δὲ καὶ ἀποθέσεις ἕξ· βραχυκατάληκτον, καταληκτικὸν εἰς συλλαβήν, καταληκτικὸν εἰς δισύλλαβον, ἀκατάληκτον, ὑπερκατάληκτον εἰς συλλαβήν, ὑπερκατάληκτον εἰς δισύλλαβον. δίμετρον μὲν καταληκτικὸν εἰς συλλαβήν, ὃ καὶ παροιμιακὸν καλεῖται, τό,

Πότε δ᾽ Ἄρτεμις οὐκ ἐχόρευσε, Καὶ κόρκορος ἐν λαχάνοισιν. τούτῳ δὲ καὶ Κρατῖνος καὶ Ἀρχίλοχος ἐχρήσαντο. Τρίμετρον δὲ καταληκτικὸν εἰς συλλαβήν, τὸ καλούμενον σιμμίειον, τό,

Ἰσία ἁγνὰ ἀπ᾽ εὐξείνων μεσατοίχων. Τετράμετρον δὲ καταληκτικόν, τὸ καλούμενον ἀριστοφάνειον, ᾧ καὶ Ἀριστόξενος καὶ Ἐπίχαρμος καὶ Κρατῖνος ἐχρήσαντο, τό,

Ὅτ᾽ ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη νενόμιστο. ἀναπαιστικὸν δὲ τετράμε-

τρον, τὸ διὰ προκελευσματικῆς ἐκλύσεως τῶν ἀναπαίστων γινόμενόν ἐστι τὸ Ἀριστοφάνους, τὸ,

Τίς ὄρεα βαθύκομα τάδ' ἐπέσυτο βροτῶν.

Ἔστι δὲ καὶ λογαοιδικὸν ἀναπαιστικὸν, ὅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις τοὺς αὐτοὺς ἐπιδέχεται πόδας τῷ ἀναπαιστικῷ καθαρῷ· ἐν δὲ τῷ τέλει ἴαμβον καὶ συλλαβὴν ἀδιάφορον, τουτέστιν ἢ βακχεῖον, ἢ ἀμφίβραχυν. ἔστι δὲ ἐπισημότατον αὐτοῦ τὸ καλούμενον ἀρχεβούλειον, ᾧ καὶ Καλλίμαχος ἐχρήσατο, ἔχον τὸν πρῶτον πόδα ἀνάπαιστον, ἢ σπονδεῖον, ἢ ἴαμβον· τοὺς δὲ ἐφεξῆς πάντας, ἀναπαίστους· οἷον,

Ἀγέτω θεός· οὐ γὰρ ἔχω δίχα τῶνδ' ἀείδειν. Νύμφα σὺ μὲν Ἀστερίαν ὑφ' ἅμαξαν ἤδη.

Φιλοτέρα· ἀρτὶ γὰρ ἡ σικελὰ Ἔννα. ἐν τοῖς διὰ μέσου μέντοι ἀναπαίστοις ὁ Ἀλκμὰν καὶ σπονδείους παραλαμβάνει.

## ΠΕΡΙ ΕΡΓΩΝ ΧΩΛΩΝ.

Γίνονται τὰ ἔπη χωλὰ, ἢ κατὰ πλεονασμὸν, ἢ κατ' ἔνδειαν. ἑκατέρου δὲ τούτων διαιρουμένου κατά τε τὴν ἀρχὴν, τὸ μέσον, καὶ τὸ τέλος, γίνονται τρόποι ἕξ. ἐν μὲν τῇ ἀρχῇ δύο, ὁ προκέφαλος καὶ ἀκέφαλος· ἐν τῷ μέσῳ δὲ, ὁ προκοίλιος καὶ ὁ λαγαρός· ἐν δὲ τῷ τέλει, ὁ δολιχόουρος, ὃν καὶ μακροσκελῆ φασὶ, καὶ ὁ μείουρος, οὓς καὶ πάθη τῶν στίχων φασί.

Προκέφαλος οὖν ἐστιν, ὅταν ἐν ἀρχῇ πλεονάσῃ συλλαβῇ, ὡς ἐν τῷ,

Ἠ εἰπέμεναι δμωῇσιν Ὀδυσσῆος θείοιο. καὶ ἐν τῷ,

Ἡ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις. πλεονάζει γὰρ ἐν τούτοις ἀμφοτέροις τὸ η.

Ἀκέφαλος δὲ, ὅταν ἐν τῇ ἀρχῇ ἐλλείπῃ χρόνῳ, ὡς ἐν τῷ,

Ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο. καὶ ἐν τῷ,

Ὃς ἤδη τά τ' ἐόντα. λείπει γὰρ ἐν τούτοις τῷ πρώτῳ ποδὶ χρόνος εἰς πρὸς τὴν τοῦ μέτρου σύστασιν.

Προκοίλιος δὲ, ὅταν ἐν τῷ μέσῳ πλεονάσῃ ἢ συλλαβῇ ἢ χρόνῳ· συλλαβῇ μὲν, ὡς ἐν τῷ,

Θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσσιν. πλεονάζει γὰρ ἐν δηΐων ἡ ι. χρόνῳ δὲ, ὡς ἐν τῷ,

Ἀτρεΐδαι τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί. πλεονάζει γὰρ ἐν τῷ καὶ χρόνος.

Λαγαρὸς δὲ ὃν τινες καὶ σφηκοειδῆ καλοῦσιν, ὁ κατὰ τὸ μέσον ἐλλιπὴς χρόνῳ ἢ συλλαβῇ, ὡς ἐν τῷ,

Βῆ δ' εἰς Αἰόλου κατὰ δώματα. ἐλλείπει γὰρ κατὰ τὸ ο χρόνος ἢ συλλαβή.

Δολιχόουρος δὲ ὁ κατὰ τὸ τέλος πλεονάζων συλλαβῇ· οἷον,

Λεπτὸν καὶ χάριεν περὶ ζώνην βάλλετ' ἰξυΐ. πλεονάζει γὰρ τῇ ι συλλαβῇ.

Μείουρος δὲ ὁ κατὰ τὸ τέλος ἐλλείπων χρόνῳ, ὡς ἐν τῷ,

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν. τούτων μὲν οὖν τῶν ἓξ τρόπων ὅσοι δύνανται, ἢ διὰ κοινῆς συλλαβῆς, ἢ διὰ συνιζήσεως θεραπεύεσθαι, οὐ κυρίως ἂν κληθεῖεν πάθη. ζητήσειε δ' ἄν τις περί τε τοῦ,

Βορέης καὶ Ζέφυρος τώ τε Θρῄκηθεν ἄητον, καὶ τοῦ,

Πλέονές κε μνηστῆρες ἐν ἡμετέροισι δόμοισι, καὶ τῶν ὁμοίων, πότερον ἀκεφάλους χρὴ λέγεσθαι, ἢ μή. προκέφαλοι μὲν γὰρ οὐκ εἰσίν. οὔτε γὰρ χρόνῳ πλεονάζουσιν οἱ πρῶτοι πόδες, ἐπειδὴ τετράχρονοί εἰσι, καὶ ἰσοδυναμοῦσι τοῖς δακτύλοις. φαμὲν οὖν κατὰ λόγον αὐτοὺς ἀκεφάλους καλεῖν, εἰ καὶ μὴ ἐλλείπουσι χρόνῳ ἢ συλλαβῇ. κεφαλὴν γὰρ ἔπους καθόλου τὴν ἀρχουσαν μακρὰν χρὴ νομίζειν εἶναι. ἐὰν οὖν αὕτη τῆς οἰκείας χώρας ἐκπέσῃ, καὶ ἀντ' αὐτῆς βρα-



χεῖα τεθῇ, ἀκέφαλον ἐξ ἀνάγκης τὸ ἔπος γίνεται. καὶ τούτων τῶν προτεθέντων στίχων ὁ μέν,

Πλέονές κε μνηστῆρες, δύναται διὰ συνιζήσεως θεραπευθῆναι τῆς πλε, καὶ ο, συλλαβῆς εἰς μίαν μακράν· ὁ δὲ ἄλλος ἀθεράπευτός ἐστιν, ὥσπερ καὶ ἐπὶ τοῦ,

Ζεφυρείη πνείουσα. φασὶ δέ τινες καὶ περὶ τούτων, ὅτι ὁ ποιητὴς εὐφωνίας μᾶλλον, ἢ μέτρου φροντίζων, ἐστὶν ὅπου τῆς τοῦ μέτρου ἀκριβείας ὑπερορᾷ· καὶ τοῦτο δῆλον ἐκ τοῦ,

Τρῶες, δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν. ἠδύνατο, γὰρ εἰπεῖν Τρῶες δ' ἐρρίγησαν ὅπως ὄφιν αἰόλον εἶδον· ἢ ὅτι ἐνταῦθα ὁ ποιητὴς ἤθετο τῆς τοῦ δασέος φ, ἐκφωνήσεως, πλέον τι ἐχούσης διὰ τὴν σφοδρότητα τοῦ πνεύματος, ὡς καὶ Ἡλιοδώρῳ δοκεῖ τῇ δασείᾳ πλέον τι νέμειν. τὸ αὐτὸ φασὶ καὶ περὶ τοῦ Ζεφυρείη. ἀλλὰ κατὰ τοῦτον τὸν λόγον δόξειεν ἂν κἂν τούτῳ τὴν ζε, συλλαβὴν μακρὰν εἶναι διὰ τὴν τοῦ δασέος φ, ἐπαγωγὴν, ὡς καὶ ἐν τῷ ὄφιν. ἀλλ' ἡ ρει, συλλαβὴ διὰ διφθόγγου γραφομένη οὐκ ἐᾷ τὸν λόγον τοῦτον ἄπταιστον προβῆναι. οὐ γὰρ δύναται διὰ τῶν τριῶν τούτων συλλαβῶν δάκτυλος συνίστασθαι, εἰ μή που τὴν ρει, συλλαβὴν διὰ τοῦ ι, φήσειε γράφεσθαι. ἤδη δέ τινες καὶ τοῦ βορέης τὴν βο, καὶ ρε, συλλαβὴν, ἐπεχείρησαν διὰ συνιζήσεως εἰς μίαν μακρὰν συνάπτειν, λέγοντες ὡς μετὰ τὴν βο, συλλαβὴν τοῦ ρ, ἐπιφερομένου, ὅπερ ὡς φωνῆεν καταλογίζεται· διὰ τοῦτο γὰρ καὶ δασύνεται ἐν πάσῃ ἀρχῇ λέξεως· οὐδὲν ἔσται ἐμπόδιον κοινὴν γενέσθαι συλλαβήν. Ἀκέφαλος οὖν πάντῃ ἀθεράπευτός ἐστιν, ὡς ἐν τῷ,

Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν. καὶ ἐν τῷ,

Ἕως ἐγὼ περὶ κεῖνα. οὐδεμιᾷ γὰρ μηχανῇ οὔτε διὰ συνιζήσεως, οὔτε διὰ κοινῆς συλλαβῆς δύναται θεραπευθῆναι· καὶ εἰσὶν ὁμολογουμένως πάθη. τούτοις ὅμοιόν ἐστι καὶ τὸ,

Ἐπίπονος βέβληται βοὸς ῥινοῖο τετυχώς. Εἰσὶ δὲ καὶ εἴδη στίχων ἕξ· ἰσόχρονος, ἀπηρτισμένος, τραχὺς, μαλακοειδὴς, κακόφωνος καὶ λογοειδής. Ἰσόχρονος μὲν οὖν ἐστιν ὁ τά τε μεγέθη τῶν συλλαβῶν καὶ τοὺς πόδας ἀπὸ τῶν πρώτων μέχρι τῶν ἐσχάτων τὰ αὐτὰ ἔχων, ἤγουν ἐξ ὅλων σπονδείων συγκείμενος, ὡς τὸ,

Τὼ δ' ἐν μέσσῃ νηῒ ξυμβλήτην ἀλλήλοιν.

Ἀπηρτισμένος ὁ διάνοιαν αὐτοτελῆ ἔχων ἐν αὐτῷ· οἷον,

Ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ.

Τραχὺς δέ ἐστιν ὁ τὸν ῥυθμὸν τῶν φθόγγων ἐκ τραχυτέρων λέξεων συνιστῶν· οἷον,

Τριχθά τε καὶ τετραχθὰ διαρρυφὲν ἔκπεσε χειρός.

Μαλακοειδὴς δέ ἐστιν ὁ λείως ἐμπίπτων ταῖς ἀκοαῖς· οἷον,

Αἵματί οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι.

Κακόφωνος δέ ἐστιν, ᾧ πολλὰ φωνήεντα πρόσεστιν· οἷον,

Φῆρα ἀθηρολοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ.

Λογοειδὴς δέ ἐστιν ὁ πεζότερος τῇ συνθέσει· οἷον, Ἵπποις δὲ ξανθαὶ ἑκατὸν καὶ πεντήκοντα.

Ἐπίχαρμος μνημονεύει) Ὁ Ἐπίχαρμος τὸ οἰκεῖον δρᾶμα οὕτως ἐκάλεσε λόγον καὶ λογίνα.

Εἷς ὢν τῆς πλειάδος) Ἐπὶ τῶν χρόνων Πτολεμαίου τοῦ Φιλαδέλφου ἑπτὰ ἄριστοι γεγόνασι τραγικοὶ, οὓς πλειάδας ἐκάλεσαν, διὰ τὸ λαμπροὺς εἶναι ἐν τῇ τραγικῇ, ὥσπερ ἄστρα τὰ ἐν τῇ πλειάδι. εἰσὶ δὲ οὗτοι Ὅμηρος· οὐχ ὁ ποιητὴς, ἀλλ' υἱὸς Ὁμήρου τῆς Βυζαντίας ποιητρίδος, καὶ Σωσίθεος, καὶ Λυκόφρων, καὶ Ἀλέξανδρος, καὶ Αἰαντιάδης, καὶ Σωσιφάνης, καὶ Φιλίσκος.

Τῶν ἀωρολείων) Ἀωρόλειοι οἱ ἔξω ἤδη ὥρας λειούμενοι, τουτέστιν ἐν γήρᾳ καλλωπιζόμενοι.

## ΠΕΡΙ ΤΟΥ ΕΛΕΓΕΙΟΥ.

Τὸ δὲ ἐλεγεῖον μέτρον τινὲς μὲν πεντάμετρον αὐτό φασιν εἶναι, σιωπηθέντες, τὰς μὲν δύο χώρας αὐτοῦ, τὴν πρώτην καὶ τὴν δευτέραν, ἀπὸ δακτύλου καὶ σπονδείου ἀδιαφόρως, ἢ ἀμφιμάκρου, ἢ παλιμβακχείου, καθαρῶν μέντοι καὶ ἐν τάξει δακτύλων κειμένων, ὡς καὶ ἐν τῷ ἡρωϊκῷ εἴρηται· τὴν δὲ τρίτην, ἐκ σπονδείου· τὴν δὲ τετάρτην ἐξ ἀναπαίστου ἢ χορείου, διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς. βέλτιον δὲ οὕτω μετρεῖν· ἐπεὶ καὶ εἰς δύο διῄρηται πενθημιμερῆ, εἰς μέρος λόγου ἀπαρτιζόμενα κατὰ τὴν τομήν. πενθημιμερὲς δέ ἐστι τὸ ἐκ δύο ποδῶν καὶ συλλαβῆς. ἐπιδέχεται οὖν κατὰ τὴν πρώτην καὶ δευτέραν χώραν δάκτυλον καὶ σπονδεῖον ἀδιαφόρως, ἢ καὶ παλιμβάκχειον, ἢ ἀμφίμακρον θεραπευομένοις, ὡς εἴρηται· εἶτα συλλαβὴν μακρὰν ἀπαρτιζομένην εἰς μέρος λόγου· καὶ μετὰ ταύτην πάλιν ἕτερον πενθημιμερὲς ἐκ δύο δακτύλων καὶ συλλαβῆς ἀδιαφόρου. οἷον,

Νήϊδες αἱ μούσῃ οὐκ ἐγένοντο φίλοι. τούτου γὰρ ἡ τομή ἐστιν ἐν τῷ μούσης. ἀλλὰ τὸ μὲν πρῶτον πενθημιμερές ἐστιν ἐκ δακτύλου καὶ σπονδείου, καὶ συλλαβῆς μακρᾶς, ὅπερ ἐστὶν ὅτε καὶ ἀμφοτέροις τοὺς πόδας ἐπιδέχεται δακτύλοις ἢ σπονδείοις, ἢ καὶ τὸν πρῶτον σπονδεῖον καὶ τὸν δεύτερον δάκτυλον· τὸ δὲ δεύτερον πενθημιμερὲς πάντως ἔχει δύο δακτύλους καὶ συλλαβὴν ἀδιάφορον.

Ἰστέον ὅτι οἱ ἀρχαῖοι ἐποίουν στίχους δύο μείζους, καὶ ἕνα ἐλάττονα. τῶν οὖν μειζόνων τὸν πρότερον στροφὴν ἐκάλουν, περὶ τὸν βωμὸν ἐν ταῖς ἑορταῖς ᾄδοντες αὐτὸν καὶ χορεύοντες· τὸν δὲ δεύτερον ἀντίστροφον ἐναλλάξαντες τὴν χορείαν· τὸν δὲ ἐλάττονα, ἐπῳδόν, ᾄδοντες αὐτὸν ἑστηκότες. ἐδήλου δὲ, ὥς φασι, ἡ μὲν στροφὴ τὴν τῆς ἀνωτάτω σφαίρας κίνησιν· ἡ δὲ ἀντίστροφος, τὴν τῶν πλανωμένων· ἡ δὲ ἐπῳδὸς, τὴν τῆς γῆς ἠρεμίαν.



## ΔΙΑΓΡΑΜΜΑ ΤΩΝ ΠΟΔΩΝ.

Πόδες
- δισύλλαβοι
  - δίχρονος, πυρρίχιος υ υ θεός.
  - τρίχρονοι
    - τροχαῖος - υ Φοῖβος.
    - ἴαμβος υ - γέλως.
  - τετράχρονος, σπονδεῖος - - ἥρως.
- τρισύλλαβοι
  - τρίχρονος, τρίβραχυς υ υ υ δόλιος.
  - τετράχρονοι
    - δάκτυλος - υ υ ἥλιος.
    - ἀμφίβραχυς υ - υ Ὅμηρος.
    - ἀνάπαιστος υ υ - πολεμῶν.
  - πεντάχρονοι
    - βακχεῖος υ - - νοήμων.
    - ἀμφίμακρος - υ - ἡγεμών.
    - παλιμβάκχειος - - υ Ἥφαιστος.
  - ἑξάχρονος, μολοττὸς - - - Ἡρώδης.
- τετρασύλλαβοι
  - τετράχρονος προκελευσματικὸς υ υ υ υ φιλόσοφος.
  - πεντάχρονοι
    - παίων πρῶτος - υ υ υ Στησίχορος.
    - παίων δεύτερος υ - υ υ Ὀνήσιμος.
    - παίων τρίτος υ υ - υ Κλεόβουλος.
    - παίων τέταρτος υ υ υ - Δορυμέδων.
  - ἑξάχρονοι
    - ἰωνικὸς ἀπ' ἐλάσσονος υ υ - - Διομήδης.
    - ἀντίσπαστος υ - - υ Ἀλέξανδρος.
    - ἰωνικὸς ἀπὸ μείζονος - - υ υ Δημήτριος.
    - διτρόχαιος - υ - υ Ἀρχέδημος.
    - διίαμβος υ - υ - Ἀνακρέων.
    - χορίαμβος - υ υ - Εὐφορίων.
  - ἑπτάχρονοι
    - ἐπίτριτος πρῶτος υ - - - Ἀριστείδης.
    - ἐπίτριτος δεύτερος - υ - - Εὐρυμήδης.
    - ἐπίτριτος τρίτος - - υ - Δημοσθένης.
    - ἐπίτριτος τέταρτος - - - υ Καλλίξενος.
  - ὀκτάχρονος, δισπόνδειος - - - - Ἡρακλείδης.

Τρίβραχυς ἢ χορεῖος. Ἀμφίμακρος ἢ κρητικός.
Διτρόχαιος ἢ τροχαϊκὴ ταυτοποδία. Διίαμβος, ἢ ἰαμβικὴ ταυτοποδία.
Ἐπίτριτος δεύτερος, ἢ τροχαϊκὴ ἑπτάσημος, ἢ καρικός.
Ἐπίτριτος τρίτος, ἢ ἰαμβικὴ ἑπτάσημος, ὁ καὶ ῥόδιος.
Ἐπίτριτος τέταρτος. ἢ ἀντισπαστικὴ ἑπτάσημος, ὁ καὶ μονογενής.
Δισπόνδειος, ἢ σπονδειακὴ ταυτοποδία.

# ΔΙΑΓΡΑΜΜΑ ΤΩΝ ΠΟΙΗΜΑΤΩΝ.




ὥσπερ δὲ γίνεται τριὰς ἐπῳδική, καὶ τετρὰς, οὕτω καὶ πεντὰς, καὶ ἐπὶ πλέον.

# ΠΙΝΑΞ ΤΩΝ ΑΞΙΟΜΝΗΜΟΝΕΥΤΕΡΩΝ
ἐν τῇδε τῇ βίβλῳ.


A

Αἰολεῖς, σελίδ. 1, στίχ. 1.
αἰολικὸν δακτυλικ. 90,3
αἰολικὸν μέτρον 37,15
αἰολισμός 38,22
Αἰσχύλος ἐν Νιόβῃ 3,17
ἀκατάληκτα 12,16.14,7.
82,34.86,25.
ἀκατάληκτον χωλὸν καὶ ὀρθόν 16,20
ἀκέφαλον μέτρον 20,29
ἀκέφαλος ἴαμβος 88,22,34
ἀλκαϊκὸν 24,11.46,15,25.
90,28.
Ἀλκαῖος 6,5.7,2.44,28.
51,8.68,3.
Ἀλκαίου ᾄσματα 35,1,6.
39,17.67,5.
Ἀλκαίου ᾠδαί 67,19
ἀλκμαϊκὸν δωδεκασύλλαβον
34,8.35,30.
Ἀλκμὰν 74,26.92,4
Ἀλκμᾶνος ᾄσματα 39,13
Ἀλκμᾶνος ἑξάμετρον 44,2
ἀλλοιόστροφον 69,17
Ἀμάσλης 5,24
ἄμικτα κατὰ στίχον 66,13
ἀμφίβραχυς 82,19
ἀμφίδοξος συλλαβή 5,3
ἀμφίμακρος 82,21
ἀνακλώμενον μέτρον 40,1,
41,5,15.47,18.48,1
ἀνακλώμενος ποὺς 88,10
ἀνακρεόντειον 87,37
Ἀνακρέων 3,22.4,18.30,5,
9,14. 40,9,14,20. 51,
12.56,15.68,3
Ἀνακρέοντος ᾄσματα 5,25.
68.4
Ἀνακρέοντος ποιήματα 74,
21
Ἀνακρέοντος περιῳδὸς 70,
18
Ἀνανίας 16,21
ἀναπαιστικὸν 91,29
ἀναπαιστικὸν ἀντιπαθὲς τῷ δακτυλικῷ 45,8
ἀνάπαιστος 17,17.82,17
ἀνομοιόστροφα 69,12
ἀντεπίρρημα 71,19
ἀντιδάκτυλος 82,18
ἀντιθετικὰ 64,27.68,22
ἀντιπαθῆ 45,5,16.58,19,
23
ἀντιπαθὴ 52,10
ἀντισπαστικὸν μέτρον 12,8.
35,9
ἀντισπαστικὴ ἑπτάσημος 11,
20
ἀντισπαστικῆς τομή 34,6
ἀντίσπαστος 59,14.83,1
ἀντίστροφος 94,19
ἀοιδικὸν μέτρον 24,23
ἀπεμφαίνοντα 61,17
ἀπεριόριστα 69,22
ἀπηρτισμένος 93,25
ἀπόθεσις ἢ καὶ κατάληξις 14,
6.83,26
ἀπολελυμένα ποιήματα 63,
18
ἀπολελυμένα συστηματικά
66,18
Ἀριστόξενος 91,39
ἀριστάρχειος ἔκδοσις 74,24
ἀριστοφάνειον μέτρον 26,2.
91,39
ἀριστοφάνειος ἔκδοσις 74.
22
Ἀριστοφάνης 20,24
Ἀριστοφάνους Ἀμφιάραος
30,17
Ἀριστοφάνους γεωργοὶ 42,8,
16
Ἀριστοφάνους δεύτεραι Θεσμοφοριάζουσαι 42,19
ἀρχεβούλειον 27,25.92,5
Ἀρχέβουλος Θηβαῖος 27,
25
Ἀρχέλαος ἢ Ἀρχέλεως 4,
1,4
ἀρχιλόχειον 89,25
Ἀρχίλοχος 27,1.48,11,26.
49,15,22.50,2,10. 51,5.
91,36
Ἀρχιλόχου ἰόβακχοι 55.9
ἀσκληπιάδειον μέτρον 34,2.
35.26
Ασνης 5,24
ἀστείσκος 74,11
ἄστροφα 69,10
ἀσυνάρτητον μέτρον 48,9.
52,4.53,35
ἄτμητα 69,18
ἄφωνον κακόφωνον 7,10
ἀωρόλειοι 93,39
ἀωρύλλειοι 53,31

B

βακχειακὸν 41,31.44,9.
45,9
βακχεῖος 82,23
βακχεῖος καὶ ἴαμβος 83,2


N

βακχεῖος κατὰ τροχαῖον 83,4
Βακχυλίδης 44,7
Βακχυλίδου ἐπίφθεγμα 70, 26,28
βουκολικὸν 91,19
βραδινὸς 24,16
βραχεῖα συλλαβὴ 1,4
βραχεῖα ἐκτεινομένη 2,17
βραχυκατάληκτον 13,3. 83,37.89,5,10,17.
βραχυνόμενον φωνῆεν 1,10
βραχυσύλλαβος 82,8

Γ

γαλλιαμβικὸν μέτρον 40,1. 41,8
γάλλοι 41,8
γλύκων 33,11
Γλυκώνειον 33,11.62,2

Δ

δακτυλικὸν 21,17
δακτυλικὸν ἀντιπαθοῦν τῷ ἀναπαιστικῷ 45,8
δάκτυλος 11,26.82,11
δασεῖα τὴν βραχεῖαν μηκύνουσα 78,17
δελφικὸς 83,11
δέρτρον 76,34
Δημοσθένους μέτρα δύο 76, 12,13
διδυμαῖος 83,11
δίιαμβος 82,33
δίμοιρον ἔπους 89,31
διονύσιος πούς 82,27
διπλαῖ 74,11.75,12.76, 1,2
διπόνδειος 82,32
διτρόχαιος 82,35
διφυὴς 80,3
διχόρειος 82,36
δολιχόουρος 92,29
δοχμαϊκὸν μέτρον 33,4
δόχμιος 83,16
δρόμιος 83,11
δυαδικὰ 64,25.84,1
δύσμεραιος 2,15
Δωδώνη 82,10

Ε

ἐγκωμιολογικὸν μέτρον 51,6
εἰκῇ 72,9
ἐλεγεῖον μέτρον 54,7.94,1
ἐλεγεῖα ἀσυνάρτητα 52,3
ἐληλυμένον 6,13.7,1,22
ἐξάμετρον 90,33
ἐξάσημος 84,10.85,5
ἐπιλογισμὸς 61,19
ἐπίμικτον μέτρον 31,20
ἐπιπλοκαὶ 11,31.12,8.84, 5.86,40
ἐπίρρημα 71,18
ἐπισύνθετα 52,7,10.53,36
ἐπίτριτοι 12,13.39,7.59, 16.83,13
ἐπιφθεγματικὰ 70,23
Ἐπιχάρμου λόγος ἢ λογία 93,34
Ἐπιχάρμου μετρὶς 5,29
ἐπιχοριαμβικὸν 45,17
ἐπιωνικὸν 60,18
ἐπιωνικὸν ἀπὸ ἐλάσσονος 47,11
ἐπιωνικὸν ἀπὸ μείζονος 46, 14
ἐποποιῶν ἔπη 63,7
ἑπτάσημος τροχαϊκὴ 38,29. 39,7
ἔπος 21,23.91,10
ἐπταφόργγοι 24,18
ἐπῳδικὰ 68,4
ἐπῳδικὴ τελεία, πετραί, πεντεσ 68,9
ἐπῳδοί 70,12.94,14
Ἑρμείου ᾆσμα 67,2
ἐπρόσγροφοι 69,17
Εὐπολίδειον 61,12
Εὐπόλιδος ἀστράτευτοι 57, 4.61,9
Βάπται 14,27
κομμάτιον 71,13
κόλακες 42,12
Κοελανω 57,15
πόλεις 52,28,30,34.53, 21
χρυσοῦν γένος 60,21
Εὐφορίων Χερρονησιώτης 60,2
Εὐελπίδιον 20,22.55,8, 12.88,30
Εὐελπίδης 20,24.55,12
ἐφθημιμερὲς 35,19.52,14. 83,31
ἐφύμνια 70,4,24

Η

ἡγεμὼν 81,26
Ἡλιόδωρος 6,8.7,21
ἡμιόλιον 52,13
ἡμίφωνον περὶ ὑγροῦ 5,22
ἡμίφωνα 7,14
ἡρωϊκὸν 90,32.91,3
ἡρωϊκοῦ διαφοραὶ 91,12
ἡρωϊκοῦ σχήματα 85,18
ἡρῷος πούς 82,16

Θ

Θεόκριτος 4,14
Θεοπόμπειον μέτρον 43,22
Θεόπομπος κωμικὸς 43,21
θέσει μακραὶ συλλαβαὶ 1,18

Ι

ἰαμβέλεγος 51,14
Ἰάμβη 81,32
ἰαμβίζειν 81,39.87,15





ἰαμβικὴ ἑπτάσημος 11,19
ἰαμβικὴ ταυτοποδία 11,13. 82,35
ἰαμβικὸν μέτρον 15,15.45, 6.85,35.87,7
ἰαμβικοῦ σχήματα 85,26
χαρακτῆρες 87,25
χῶραι 15,5,16
ἴαμβος 5,9.81,32.87,15
ἴαμβος οὐ πᾶς λοίδορος 17, 23
ἰάμβου λύσις 17,8
ἰθυφαλλικὸν μέτρον 21,5.48, 13.58,25.88,28
ἵνα τὸ α μακρόν 78,26
ἵππειος 83,16
Ἱππωνάκτειον μέτρον 33,17
Ἱππῶναξ 4,13.16,21
ἰσόχρονος 93,21
ἰσχυρὸς 2,15
ἰωνικὸν μέτρον 12,7
ἰωνικὸν ἀπ᾽ ἐλάσσονος 38, 1.82,36
ἰωνικὸν ἀπὸ μείζονος 5,11. 36,12.82,38
ἰωνικὸς 82,22
ἰωνικοῦ λύσις 38,6

Κ

κακόφωνος 93,31
Καλλίμαχος 6,1.20,27. 30,20.50,22.55,14.57, 18.92,6
Καλλιμάχου ποιημάτιον 63, 9
καρικὸς 11,18.83,16
κατακλεὶς 15,24.20,14. 83,27
καταληκτικὰ 12,20.13, 22,25.14,7.16,9.83, 36.86,7,13
κατάληξις 14,6.83,27
κατὰ μικρὰ συστηματικὰ 67,16
καπνόπλιον 91,14
Κέλεος 81,33
κλεομάχιον μέτρον 21,1. 36,21.38,12
κοινὰ ποιήματα 63,14
κοινὰ συστηματικὰ 67,20
κοινὰ κατὰ σχέσιν 65,8
κοινὴ συλλαβὴ 3,1.5,3. 77,1
κοινῆς κόσμος 9,24
κόμμα 65,16
κομμάτιον 71,11
Κορίννη 9,6.60,7
κορωνὶς 74,10.75,4
κουκούλιον 88,1,4
Κουρῆτες 82,14
κουρητικὸς 83,11
κρατίνειον μέτρον 56,18.61, 7.62,18
Κρατῖνος 6,10,15,18,21. 41,35.48,20.91,36,39
Κρατίνου Ἀρχίλοχοι 50,10
Ὀδυσσεῖς 26,3,18
Πανόπται 5,27
Σέριφοι 50,24
κρητικὸν μέλος 42,1
κρητικὸν μέτρον 41,31.45,8
κρητικὸς ποὺς 10,31.82,22, 36.83,10,12
κρητικοῦ λύσις 44,19
Κριτίας εἰς Ἀλκιβιάδην 8, 23
κύκλιος 83,4
κῶλον 65,16
κωμικοὶ βίον μιμούμενοι 17, 15.21,6
κωμικὸν ἰαμβικὸν 87,8.
26,30

Λ

λαγαρὸς 92,27
ληκύθια μοῦσα 20,28
ληκύθιον μέτρον 20,23
λιγυροκωτίλη 62,10
λιτὸς 2,15
λογοειδὴς 93,33
λογαοιδικὰ 24,8,21.90, 25
λογαοιδικὸν ἀναπαιστικὸν 27,21
λογικὸν μέτρον 24,23
λοιδορικὸν μέτρον 81,40

Μ

μακρὰ συλλαβὴ 1,13.2,13
Μαργίτης Ὁμήρου 64,1. 67,1
μαλακοειδὴς 93,29
μέγας στίχος 74,3
μείουρος 92,31
Μενάνδρου κωμῳδίαι 66, 12.73,37
μέλος 71.18
μεσύμνιον 70,8
μεσῳδικὰ 64,17.68,12
μεσῳδοὶ 70,21
μεταβολικὰ ἄτακτα 63,24. 66,20
μέτρον 76,9,22
μέτρου πέρας 14,18
μέτρου ἡ τελευταία ἀδιάφορος 14,12
μέτρα ἀλλήλοις ἀντιπαθοῦντα 45,5
μέτρων ὑπόθεσις 12,15.13,19
μέτρων κατ᾽ ἀντιπάθειαν μῖξις 45,16
μέτρων καταμέτρησις 72,18
μέτρου ἢ μετρούμενον 71,21

Μητρωακὸν μέτρον 40,1
μικτὰ ποιήματα 63,13. 66,11
μικτὰ κατὰ σχέσιν 65,5
μολοσσοὶ 38,7.82,8
μονογενὴς ποὺς 11,21.83,18
μονοειδῆ μέτρα 44,13.45,10.52,8
μονοστροφικὰ 64,15.68,2
μονοστροφικὰ ᾄσματα 67,10
N
Νῆεις 81,33
νόμοι κιθαρῳδικοὶ 66,19
Νικομάχου ἐλεγεία 14,22
O
οἶκος 88,1
ὀκτάσημος 84,22
Ομηρος 4,8,14.76,35.87,23
Ομήρου Μαργίτης 64,1
Ομήρου ποίημα 63.7
Ομήρου ῥαψῳδίαι 66,13
ὁμοιοειδῆ ἀσυνάρτητα 52,9
ὁμοιοειδῆ μέτρα 44,13.45,10
ὀξυνομένης ποσότης 78,30
Π
πάθη 92,33
παίων 12,4.42,5.43,16.44,14.45,1.83,5,8
παιωνικὸν μέτρον 12,2.41,30
παλιμβακχειακὸν 41,32
παλιμβάκχειος 82,25
παλινῳδικὰ 64,21.68,13
Παρθένιος 4,4
παράβασις 71,7.75,17
παράγραφος 74,10.75,7
παράλληλος ἴαμβος 82,34
παρίαμβος 11,29.81,24
πάροδοι 73,40
παροιμιακὸν μέτρον 26,11.91,34
Πάσνης 5,24
πενθημιμερὲς 83,29.94,7
πέλεκυς Συμμίου 31,7
πενταδάκτυλος 31,17
κατὰ περικοπὴν ἀνομοιομερῆ 64.22
περίοδος 72,19,22
περιορισμοὶ ἄνισοι 69,25
περισπωμένη 78,5
περιῳδικὰ 64,19.68,16.82,39.83,18.91,17
πινδαρικὸν 46,9.51,23
Πίνδαρος 68,10
πλειάς 93,35
Πλάτωνος ξάντριαι 51,21
πλατωνικὸν μέτρον 51,18
ποιημάτων διάγραμμα 96
ποιημάτων διαίρεσις 63,
πολιτικὸν 91,27
πολυσχημάτιστα 59,29.61,12
πομπευτικὸς 82,28
ποὺς ὁμώνυμον 81
πόδες 10,21.11,23.78,34
ποδῶν διάγραμμα 95
Πραξίλλης 9,9
πραξίλλεια μέτρα, 36,24.38,15.90,29
πριάπειον 34,13.59,32.61,12
πρὶν τὸ ι μακρὸν 78,13
προκελευσματικὰ μέτρα 12,1.81,19.82,31
προκέφαλος 92,16
προκέφαλον μέτρον 78,21.92,16
προσοδιακὸν 52,24.26,82,27
προσῳδὸς 70,18
πυρρίχη 81,21
πυρριχιακὸν 27,17.81,29
πυρρίχιος 11,22.81,23
Πύρρος 81,21
Ρ
ρ ὡς φωνῆεν 79,2
ῥητορικὴ 24,25
Ρίνθων 4,10
ῥόδιος 11,1.9
ῥυθμὸς 76,15
Σ
Σαπφικὸν 33,16.34,23.45,17.91,21
Σαπφὼ 32.7.34,19.35,1 36,26.37,15.40,14.47,20.49,4.57,24.58,3,63,16.65,20.26,68,3.70,8
Σαπφοῦς ᾄσματα 39,15
ποιήματα 74,21
σατυρικὸν ἰαμβικὸν 87,26,31
σεῖστρον 76,33
σημασία 20,21
Σιμμίας ὁ ῥόδιος 26,10.31,7.35,4.43,2.65,5.68,2
Σιμμίου ᾠὸν 65,5.68.18
σιμμιακὸν μέτρον 35,6
σιμμίειον 21,17.36,6.91,
Σιμωνίδης 68,11
Σιμωνίδου ἐπίγραμμα 14,19.64,9.66,22.72,13
Σοφοκλῆς 4,2,3
σπονδειακὴ ταυτοποδία 11,22
σπονδειακὸς 83,2
σπονδεῖος 82,3
σπονδείου λύσις 17,11.20,6



σπονδαὶ πρὸς θεοὺς 82,4
στίχος 65,13
τὰ κατὰ στίχον 66,11
στροφὴ 94,18
συγκεχυμένον 61,16
συμβλητὸς 83,10
σύμπτυκτος ἀνάπαιστος 57,15
συναλοιφὴ 79,28
συναλοιφῆς καὶ συνεκφωνήσεως διαφορὰ 10,6.
συνεκφώνησις 9,19.79,28
συνεκφωνήσεως καὶ συναλοιφῆς διαφορὰ 10,6
συνιζάνειν 79,31
συνίζησις 9,27.79,6
σύστημα 65,16.72,7
σύστημα κατὰ περικοπὴν ἀνομοιομερές 71,6
συστηματικὰ ποιήματα 63,11.65,21.71,28
συστηματικῶν διαίρεσις 66,14
συστηματικὰ κατάμικτα καὶ κοινὰ 67,16
σφῆκες 42,12
σφηκοειδὴς 92,27
κατὰ σχέσιν ποιήματα 63,19.66,67,24.75,20
σχήματα μέτρων 61,21
Σωφρόνιος 88,13
σωτάδειον μέτρον, 37,8.38.21
Σωτάδης 3,20.5,10
Σωτάδου ἰλιὰς 8,21.10,13
Τ
ταυτοποδία 82,34
τέλειον 91,25
Τελέσιλλα 36,18
τεσσαρεσκαιδεκασύλλαβον 90,21
τετραδικὰ 64,26
τετραδικὴ 85
τετράσημος 20,21.84,9,20
Τιμοθέου νόμοι 66,20
Τιμοκρέων σικελὸς 40,22
τραγικὸν ἰαμβικὸν 87,8,26,27
τραχὺς 93,27
τριαδικὰ 64,26
τριακοντάσημον 44,1
τρίβραχυς 82,6
τρίμακρος 82,10
τρίμετρον 85,49.87,24
τριπενθημιμερὲς 51,18
τρίσημος δυαδικὴ 84,7
τροχαϊκὴ ἑπτάσημος 11,17
τροχαϊκὴ ταυτοποδία 11,11.82,36
τροχαϊκὸν μέτρον 7,14.88,19
τροχαϊκὸν ἀντιπαθὲς τῷ ἰαμβικῷ 45,6
τροχαϊκοῦ καὶ ἰαμβικοῦ συγγένεια 20,16
τροχαῖος 11,27.24,24.82,1,8
τροχαῖος συζυγὴς ἰωνικῷ 38,1,8
Υ
ὕβεις 87,20
ὑγρὸν εὐόλισθον 7,10
περὶ τοῦ ὑγροῦ τὸ ἡμίφωνον 5,22
ὑπερκατάληκτα 13,8.27.59,3.83,32.86,8,15
ὑπέρμετρον μέτρον 21,2
ὑποκύκλιος 82,37
ὑπόρρυθμον 91,23
ὑπορχηματικὸς 83,12
Φ
φαλαίκειον 33,21.35,24
φερεκράτειον μέτρον 33,7
Φερεκράτης 59,20
φέρτρον 76,34
Φιλάδελφος Πτολεμαῖος 5,10
Φιλίσκος κερκυραῖος 30,22.31,4,11.
Φρύνιχοι, ὁ τραγικὸς καὶ ὁ κωμικὸς 39,20,23
Χ
χορεῖος 10,26.82,6
χοριαμβικὸν μέτρον 12,8.31,14.61,2
χορίαμβος 83,2
χρόνος ἄλογος μετρικοῖς καὶ ῥυθμικοῖς 78,28
χρόνοι γραμμάτων 78,31
χρόνοι μέτρων 45,2
χωλὸν μέτρον 16,20.20,32
χωλὰ ἔπη 92,11
χωλιαμβικὸν 86,37

## ΑΙ ΔΙΑΦΟΡΟΙ ΓΡΑΦΑΙ ΚΑΙ ΣΦΑΛΜΑΤΩΝ ΤΙΝΩΝ ΔΙΟΡΘΩΣΕΙΣ.

Σελ. στίχ.
2, 2 κείμενος μάκ.
3, 13 γράφε, ἐκκαιδε-
καίδωρα
6, 17 γρ. νεανία
8, 16 γρ. Ἐπειδὴ νῆας.
ἐκ τῆς Ἰλιάδ. ψ.
9, 8 οἶσθα
13 γρ. Ὠ χ. καί, καλέ-
σασ' ἐς
10, 31 γρ. ἢ κρηπικός.
11, 20 γρ. ὀκτάχρονος
12, 23 Χαίροις ἀνύμ.
ἴσως, ὦ νύμ.
13, 11 ἴσως, πασσάλῳ
16 Α δὲ Αρ
16, 7 γρ. Δέξαι
17, 6 ἄκρον ἥκον
γρ. διαπαντα
18, 7 γρ. ἐφεράσω
19, 8 ἴσως, Μὴ περίπιμα,
καί, δῆτ.
ἐμὲ
29 ἴσ. Ἑρμᾶ, τε, ποδ
31 γρ. Ἀμειψίαν
διαπλωχὸν ὅτι
ἐν ἡμῖν
23, 21 ἴσως, ἐπιόργυιοι
22 ἴσ. σάμβαλα
23 ἐξεπόνασαι
25, 6 διαιρουμένου
26, 6 γρ. αὖραι, νέφος
οὐράνιον πόδ
30, 3, γρ. δρῶσαι Λαμ.
6 ἐφίλασεν
18 ἴσ. Οἰδαμένη

καί, τὸ δρῶν.
20 βράγχον
32, 25 Φιλίσκος, Σω-
σιφάνης
33, 6 τὸν ἐγχ.
15 γρ. ὤλεσε
18 ἴσως, θυμηίσας
34, 6 τετρασυλλάβου
9 γρ. χρόνῳ
35, 8 γρ. ἀριστόποδ
37, 17 ἴσως, οὐδ' ἀμ
ὀπώρας σέθεν
20 μάπισαι
38, 2 γρ. μέσσαι δὲ
Νύκτες
39, 14 ἴσως, Ἑκατον, ἵν
ἢ κύριον ὄνομα.
16 ἴσως, ὡραία, ἢ
ὡραία ἐπιρρη-
ματικῶς.
40, 15 αὖ ἄλλη, ἤ, ἐν ἄλλῃ
21 πυθόμανδρον
23 γρ. ὡς στίχον τό,
Σικελος, κομψὸς ἀνὴρ
43, 5 γρ. ἢ ῥα
44, 4 ἴσως, παίσδει, ἀντὶ τοῦ παίζει
8 γρ. τ' ἄλ
11 κυρίζειν
45, 26 ἴσως αἴποκα, ἤ,
αἴπολε κατ'
29 γρ. Ἀλκαίῳ, καί
47, 9 ἀρμάτεσσι
χ' ἥμενος.
48, 11 γρ. περιλαμ-
βάνεται

18 ἴσως, ὅμιλε τοῖς
49, 3 εἰς πρῶτον
10 περιστηθὲς
24 τὸν πρῶτον σπον-
δεῖον ἐν τῷ τοῦ
δευτέρου συλ-
λαβῇ μολοσ-
σὸν ποιεῖ
50, 12 ἀωρυλλείων
55, 15 Ἔνεστι πολλῶν
56, 3 ὅτι οὕτως σύγκ.
57, 4 Εὐστρατεύτοις
59, 12 γρ. ξυνεζευγμένομ
18 γρ. Σύμπλυκτον
31 χρησιμωτάτων
60, 3 τελεσται
61, 2 ἐπιχοριαμβικόν
62, 17 γρ. πελέκεσι
63, 15 τὸ δὲ συστηματι-
κὸν ἐστὶ πληρ.
64, 4 γρ. Ἴσθμια δίς,
νεμέα δίς,
6 γρ. Ἀριστόδημος
19 παρεπωδικά.
ἐστιν
66, 10 Ἐνναίοις
18 ἃ ὡς ἔτυχε γέγρ.
23 Ἴσθμια δίς, νε-
μέα δίς,
68, 21 ὅμοια εἰσι
22 πάσας ἀλλήλαις
εἰσι ὁμοίας
73, 25 γρ. θρασυκαρ-
δίων
80, 38 γρ. δεύτερον

EXCVDEBATVR LVTETIÆ PARISIORVM.

M. D. LIII.